CODICUM ET NOTARUM CONSPECTUS

A = *Codices omnes praeter M** (*p.* LII).
B = *Codex Vaticanus 1613.*
Ba = *Codex Parisiensis 1589.*
Bb = *Codicis eiusdem fol. 1-12.*
Bc = *Menologii Graecorum pars tertia.*
Bd[1] = *Codex Cryptoferratensis* B γ. I.
Bd[2] = *Codex Cryptoferratensis* B γ. II.
Be = *Codex Cryptoferratensis* B γ. III.
Bf = *Codex Cryptoferratensis* B γ. V.
C = *Codex Messanensis 103.*
Ca = *Codex Messanensis 76.*
Cb = *Codex Ambrosianus B. 104. S.*
Cc = *Codex Ambrosianus D. 74. S.*
Cd = *Codex Cryptoferratensis* B γ. IV.
Ce = *Codex Parisiensis 1624.*
Cf = *Codex Ambrosianus Q. 40. S.*
Cg = *Codex Civit. Lipsiensis. R. II. 25.*
Ch = *Codex Neapolit. II. C. 31.*
D = *Codex Parisiensis 1587.*
Da = *Codex Oxoniensis Bodl. Auct. T. III. 16.*
Db = *Codex Ambrosianus B. 133. S.*
Dc = *Codex Parisiensis 1588.*
Dd = *Codex Parisiensis 1591.*
F = *Codex Mediceo-Laurent. San Marco 787.*
Fa = *Codex Parisiensis 1590.*
Fb = *Codex Parisiensis 1592.*
Fc = *Codex Cryptoferratensis* B γ. XVIII.
Fd = *Codex Parisiensis 1584.*
G = *Codex Ambrosianus C. 101. S.*
H = *Codex Hierosolymitanus S. Crucis 40.*
K = *Codex Petropolitanus 240.*
L = *Codex Musei Britannici add. 24. 378.*
M = *Codex Parisiensis 1582.*
Ma = *Codex Petropolitanus 231.*
Mb = *Codex Basileensis A. III. 16.*
Mc = *Codex Parisiensis Coislin. 223.*
Md = *Codex Oxoniensis Aedis Christi 2.*
Me = *Codex Parisiensis Coislin. 309.*
Mf = *Codex Parisiensis 1577.*
Mg = *Codex v. cl. A. Papadopoulos-Kerameus.*
Mh = *Codex Parisiensis 1578.*
Mi = *Codex Mosquensis S. Synodi 353.*
Mk = *Codex Mosquensis S. Synodi 354.*
Ml = *Codex Petropolitanus 567.*
Mm = *Codex Venetus S. Marci II. 137*[a].
Mv = *Menaea Venetiis edita.*
Mr = *Menaea Romae edita.*
N = *Codex Parisiensis 1617.*
O = *Codex Parisiensis 1583.*
Oa = *Codex Venetus S. Marci II. 166.*
P = *Codex Patmiacus 266.*
Q = *Codex Parisiensis 1621.*
R = *Codex Petropolitanus 227.*
Ra = *Codex Parisiensis 1575.*
Rb = *Codex Parisiensis Suppl. gr. 152.*
Rc = *Codex Vindobonensis Th. gr. 300.*
S = *Codex Berolinensis 219.*
Sa = *Codex Parisiensis 1594.*
Sb = *Codex Parisiensis 1571.*
T = *Codex Taurinensis C. I. 12.*

*Asterisco * notae codicis adiecto, v. g. C*, omnes eiusdem generis codices designantur.*
De notis 1. 2. 3. ..., (Sept. 4[2]*), diximus supra, p.* VIII.
ξ. τ., π. τ. = ξίφει (πυρὶ) τελειοῦται, τελειοῦνται.

ΣΥΝΑΞΑΡΙΟΝ

ΠΕΡΙΕΧΟΝ ΟΛΟΥ ΤΟΥ ΕΝΙΑΥΤΟΥ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΚΑΙ ΤΩΝ ΟΣΙΩΝ ΕΝ ΣΥΝΤΟΜΩ ΤΑ ΥΠΟΜΝΗΜΑΤΑ

ΜΗΝ ΣΕΠΤΕΜΒΡΙΟΣ

ἔχει ἡμέρας[2] λ', ἡ ἡμέρα ἔχει ὥρας ιβ' καὶ ἡ νὺξ ὥρας ιβ'.

Α'.

1. Οὗτος ἀρχὴ[1] καλεῖται ἰνδίκτου, τουτέστιν ὁρισμοῦ, διὰ τὸ παρὰ Ῥωμαίοις ἴνδικτα καλεῖσθαι τὸν ὁρισμόν[2]· ἔλαχε δὲ τὴν τοιαύτην κλῆσιν ἀπὸ Αὐγούστου Καίσαρος, ὃς τῆς βασιλείας ἀπὸ τούτου καταρξάμενος καὶ τὴν ἀπογραφὴν ὅλης τῆς οἰκουμένης ποιούμενος ὡρίσατο τοὺς κατ' ἐνιαυτὸν φόρους πᾶσι τοῖς αὐτῷ ὑποτελέσι[3]. Διὰ ταῦτα ἡ ἐκκλησία εὐσεβέστερον παραλαβοῦσα κατὰ παράδοσιν[4], ὡς ἐναπογραφόμενον σχοῦσα κατὰ ταύτην διὰ τὴν ἐνανθρώπησιν καὶ τὸν Κύριον, ἑορτάζει τὴν πρώτην ταύτην, δι' αὐτῆς ὅλον ἁγιάζουσα καὶ ἐπευλογοῦσα τὸν ἐνιαυτόν[5]. Ἐν γὰρ ταύτῃ τῇ ἡμέρᾳ ὁ Κύριος εἰσελθὼν εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων καὶ λαβὼν βιβλίον Ἡσαΐου τοῦ προφήτου, ἀναπτύξας αὐτὸ εὗρεν οὕτως· « Πνεῦμα Κυρίου » ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με εὐαγγελίσασθαι » πτωχοῖς, ἀπέσταλκέ με κηρῦξαι ἐνιαυτὸν Κυρίου » δεκτόν. » Ἔκτοτε οὖν παραλαβοῦσα ἡ ἡμέρα αὕτη παρὰ τοῦ πάντων δημιουργοῦ, τοῦ ἀεὶ ὄντος καὶ εὐλογοῦντος τὰ σύμπαντα καὶ συνέχοντος, ἑορτάζεται παρὰ πασῶν τῶν ἐκκλησιῶν εἰς δόξαν αὐτοῦ. Sept. 1.

2. Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμεν καὶ[1] ἡ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν[2] καὶ τῆς ὁσίας μητρὸς αὐτοῦ Μάρθας. Οὗτος ἐκ τῶν ὁρίων μὲν ὥρμητο Ἀντιοχείας[3], ἐξ ἐπαρχίας δὲ Κιλίκων, ἐκ κώμης Σισὰν ἐπονομαζομένης· πρόβατα ποιμαίνειν[4] ἐκ πρώτης ἡλικίας παρὰ τῶν γονέων καταπιστευθείς, μόλις δέ ποτε ἀφεθεὶς ἐν μιᾷ | τῶν f. 13v. ἡμερῶν εἰς τὴν τοῦ Θεοῦ ἐκκλησίαν εἰσελθεῖν καὶ ἀκοῦσαι τοῦ εὐαγγελίου λέγοντος· « Ὁ φιλῶν Matth. 10, 37. » πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος », παραυτίκα πάντα καταλείψας ἀνεχώρησε καὶ τὸν μονήρη ὑπεισῆλθε βίον ἐπὶ βασιλέως Λέοντος τοῦ μεγάλου καὶ Μαρτυρίου πατριάρχου Ἀντιοχείας,

Tit. — [1] Συναξάριον σὺν Θεῷ τοῦ ὅλου χρόνου ἐνιαυτοῦ καὶ ἀρχὴ τῆς ἰνδίκτου Sa. — [2] (ἑ. ἡ.) ἡμέρας ἔχων Sa.
1. — [1] (οὗτος ἀρχὴ) οὗ ἡ ἀρχὴ Sa. — [2] (διὰ - ὁρισμόν) *om.* Sa. — [3] (αὐτῷ ὑποτελέσι) τοῖς ὑπ' αὐτὸν ὑποτεταγμένοις Sa. — [4] (παραλ. κατὰ παραδ.) κατά παράδοσιν παραλαβοῦσα Sa. — [5] *hic desinit* Sa.
2. — [1] καὶ *om.* Sa. — [2] τοῦ ἐν τῇ Μάνδρα *add.* Sa. — [3] τῆς μεγάλης *add.* Sa. — [4] ποιμεν ἦν S, ποιμένην Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. 8. — **H** : 2. 3. 4. 1 (des. : κατέρχεται ὁ πατριάρχης ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἁγίας Θεοτόκου ἐν τοῖς Οὐρβικίου διὰ τὸ εἶναι τὰ ἐγκαίνια τῆς ἐκεῖσε ἐκκλησίας. cf. 8). 6. 7. — **P** : deest. — **F** : 1. 8. 6. 3. 4. 5. 2. 7. — **Fa** : 1 : Ἀρχὴ τῆς ἰνδίκτου ἤτοι τοῦ νέου ἔτους. Ἰστέον ὅτι τὴν ἴνδικτον ἑορτάζει ἡ ἐκκλησία ἀπὸ τῶν ἀρχαίων παραλαβοῦσα διὰ τὸ νομίζεσθαι παρὰ Ῥωμαίοις ἀρχὴν εἶναι τοῦ ἔτους ἀπὸ ταύτης τῆς ἡμέρας· ἴνδικτος <δὲ καλεῖται>[1] παρὰ Ῥωμαίοις ὁ ὁρισμός. — 8 : Καὶ μνήμη τῆς ἁγίας Θεοτόκου τῶν Μιασηνῶν[2]. Ἡ μνήμη τῆς Θεοτόκου τῶν Μιασηνῶν[3] τελεῖται διὰ τὴν παραδοξοποιὸν καὶ ἁγίαν εἰκόνα τῆς Θεοτόκου τὴν ἐν τῇ λίμνῃ μὲν τῆς Γαζουροῦ, μονῇ δὲ τῶν Μιασηνῶν[3] διὰ τὸν φόβον τῶν εἰκονομάχων ἐμβληθεῖσαν καὶ μετὰ πολὺν χρόνον ἀναδοθεῖσαν. — 6 : Καὶ κοίμησις Ἰησοῦ τοῦ Ναυῆ. Οὗτος ὑπῆρχε τῷ γένει Ἑβραῖος, φυλῆς Ἐφραΐμ[4] καὶ θεράπων Μωσέως τοῦ θεόπτου, Αὐσὴς[5] πρώην ὀνομαζόμενος. Αὐτὸς ἀπεστάλη εἰς τὴν τῶν Χαναναίων γῆν. Ὃς καὶ ψήφῳ Θεοῦ ὑπὸ Μωσέως τὴν ἡγεμονίαν ἐγχειρίζεται τοῦ λαοῦ καὶ τὸν Ἰορδάνην περάσας ἀβρόχως σὺν ἱερεῦσι τῇ τῶν Ἀμορραίων[6] παρέβαλε γῇ μετὰ καὶ τῆς κιβωτοῦ. Ὅτε καὶ τὸν ἀρχιστράτηγον Κυρίου ἑόρακεν ἐσπασμένην ἔχοντα τὴν ῥομφαίαν, ὃς καὶ ἐνίσχυσεν αὐτὸν πρὸς τὴν καταστροφὴν τῆς Ἱεριχώ, αὐτὸς πάσας τὰς πόλεις τῶν Χαναναίων ἑλών, ἐν εἰρήνῃ τελειοῦται ἐτῶν ὑπάρχων ἑκατὸν δέκα. — 3 : Τῇ αὐτῇ ἡμέρᾳ τῶν ἁγίων τεσσαράκοντα γυναικῶν παρθένων καὶ Ἀμμὼν διακόνου. Αἱ τεσσαράκοντα γυναῖκες παρθένοι ἤθλησαν ἐπὶ Λικινίου ἐν Ἀδριανου- Sept. 1.

[1] *suppleri.* — [2] Μιασυνῶν Fa. — [3] Μιασινῶν Fa. — [4] Ἐφρέμ Fa. — [5] Αὐσὶς Fa. — [6] Ἀμοραίων Fa.

Sept. 1. καταντήσας εἰς Ἡλιόδωρόν τινα μοναχὸν προϊστάμενον λαύρας τῆς ἐπονομαζομένης Μάνδρας· ἐν ᾗ[5] διατελέσας δεκαετίαν καὶ τὴν κοινοβιακὴν ὑπερβὰς πολιτείαν, εἰς ἔρον[6] τῆς ἡσυχίας ἐλθὼν Τελάνισόν τινα κώμην κατέλαβεν· ἐν ᾗ τρίτον ἔτος καταμόνας διατελέσας καὶ τελειοτέρας διαγωγῆς ἐπιθυμήσας, ὕστερον ἀνῆλθεν ἐπὶ διαφόρους στύλους, ὕψος τῷ ὕψει προστιθείς, καὶ πρὸς τὸν οὐρανὸν σπεύδων ἀναχθῆναι, ὅπως παρασταίη τῷ ἐρωμένῳ· οὗ καὶ ἐπιτυχὼν πρεσβεύει ὑπὲρ ἡμῶν. Ἐκ γοῦν τοῦ οἰκῆσαι ἐν τῇ λαύρᾳ τῇ ἐπονομαζομένῃ Μάνδρᾳ λέγεται Συμεὼν ὁ τῆς Μάνδρας, ἐκ δὲ τοῦ εἰς διαφόρους στύλους ἀναχθῆναι καλεῖται Συμεὼν ὁ στυλίτης. Τούτου δὲ τὴν ἰσάγγελον πολιτείαν καὶ τὰ πνευματικὰ χαρίσματα καὶ τὰς θαυματουργίας καὶ τὰς προρρήσεις ὁ πρὸς αὐτὸν μεταφραστικὸς λόγος πλατύτερον διέξεισι, ὡσαύτως καὶ τὰ περὶ τῆς ὁσίας Μάρθας τῆς μητρὸς αὐτοῦ[7].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων τεσσαράκοντα γυναικῶν παρθένων ἀσκητριῶν καὶ μαρτύρων[1] καὶ Ἀμμὼν διακόνου καὶ διδασκάλου αὐτῶν καὶ τοῦ σὺν αὐτῷ[2] Ἀειθαλᾶ[3]. Αὐταὶ[4] ἐγένοντο ἐξ Ἀδριανουπόλεως τῆς Μακεδονίας, χριστιανὰς[5] ἑαυτὰς ὁμολογήσασαι καὶ τῷ Χριστῷ ἀκολουθήσασαι, διδάσκαλον ἔχουσαι διδάσκοντα αὐτὰς τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν Ἀμμὼν τὸν διάκονον· κρατηθεῖσαι δὲ[6] παρὰ Βαύδου τοῦ τῆς Ἀδριανουπόλεως ἄρχοντος καὶ πολλὰ τιμωρηθεῖσαι διὰ τὸ μὴ θῦσαι τοῖς δαιμονίοις καὶ εἰς Βερρόην[7] ἀχθεῖσαι τοῦ προσκυνῆσαι τὰ εἴδωλα, ηὔξαντο εἰς[8] τὸν Θεόν. Καὶ ἐκρεμάσθη εἰς τὸν ἀέρα ὁ ἱερεὺς τῶν εἰδώλων ἐπὶ πο|λλὰς ὥρας τιμωρηθείς· εἶτα πεσὼν ἀπέθανε. Κρεμᾶται δὲ[9] ὁ ἅγιος Ἀμμὼν καὶ ξέεται τὰς πλευράς. Εἶτα κασσίδα πεπυρωμένην δέχεται κατὰ κεφαλῆς· καὶ ταύτης ῥυσθεὶς παρεπέμφθη μετὰ τῶν ἁγίων παρθένων ἀπὸ Βερρόης[10] εἰς Ἡράκλειαν τῆς Θρᾴκης Λικινίῳ[11] τῷ τυράννῳ. Ὁ δὲ ἔδωκεν ἀπόφασιν κατ' αὐτῶν. Καὶ αἱ μὲν δέκα εἰς πῦρ ἐμβληθεῖσαι ἐτελειώθησαν, αἱ δὲ ὀκτὼ μετὰ τοῦ διδασκάλου αὐτῶν ἀπεκεφαλίσθησαν. Καὶ αἱ δέκα ξίφη κατὰ στόμα καὶ καρδίαν δεξάμεναι ἐτελειώθησαν· αἱ δὲ ἐξ ὑπὸ μαχαιρῶν κατεκόπησαν, καὶ αἱ[12] ἐξ βύλους σιδηροῦς πεπυρακτωμένους κατὰ στόμα λαβοῦσαι ἀπέθανον.

f. 14.

4. Τῇ αὐτῇ ἡμέρᾳ[1] μνήμη τῶν ἁγίων μαρτύρων Ἀγαθοκλείας, Καλλίστης, Ἑρμογένους καὶ Εὐόδου[2].

5. Καὶ ἡ ἀνάβλεψις τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου, περὶ ἧς Λουκᾶς ὁ θεῖος ἐν ταῖς πράξεσι τῶν ἀποστόλων διέξεισι. Act. 9, 18.

6. Τῇ αὐτῇ ἡμέρᾳ ἡ κοίμησις Ἰησοῦ τοῦ Ναυῆ. Οὗτος ἐγένετο μὲν υἱὸς τοῦ Ναυῆ, τῷ γένει Ἑβραῖος, ἐκ φυλῆς Ἐφραΐμ, θεράπων[1] Μωσέως τοῦ νομοθέτου[2] καὶ διάδοχος αὐτοῦ, Αὐσὴς πρώην ὀνομαζόμενος. Ὃς πρότερον μὲν ἀποσταλεὶς κατασκοπῆσαι τὴν τῶν Χαναναίων γῆν[3] καὶ τοῦτο Num. 13, 17.

— [5] ἐν ᾧ Sa. — [6] ἔρωτα Sa. — [7] καὶ τῆς μητρὸς αὐτοῦ Μάρθας Sa.

3. — [1] (γυναικῶν - μαρτύρων) γυναικῶν ἀσκητριῶν καὶ παρθένων Sa. — [2] αὐτῶν S. — [3] Ἀειθαλά Sa. — [4] Οὗτοι πάντες ἐν τοῖς χρόνοις τοῦ βασιλέως Λικινίου Sa. — [5] αἱ δὲ παρθένοι χριστιανάς Sa. — [6] (κρατ. δὲ) καὶ κρατ. Sa. — [7] Βερόην S. Sa. — [8] πρὸς Sa. — [9] τοίνυν Sa. — [10] Βερόης S. Sa. — [11] Λικινίῳ Sa, Λικιννίῳ S. — [12] *om.* Sa.

4. — [1] τῇ αὐτῇ ἡμέρᾳ *om.* Sa. — [2] Εὐάδου S.

6. — [1] δὲ *add.* Sa. — [2] θεόπτου Sa. — [3] ἥτις ἐστὶν Ἱεριχὼ *add.* Sa.

Sept. 1. πόλει τῆς Θρᾴκης ἡγεμονεύοντος Βαύδου. Καὶ ὁ μὲν διάκονος Ἀμμὼν[7] χα|λκῆν περικεφαλαίαν πυρακτωθεῖσαν ὑπομείνας ἐτελειώθη. Αἱ δὲ παρθένοι τὰς καρδίας περονηθεῖσαι σιδήροις τὰ πνεύματα τῷ Κυρίῳ παρέδωκαν. — 4 : Καὶ μνήμη τῶν ἁγίων μαρτύρων Καλλίστης, Ἑρμογένους καὶ Εὐόδου. — 5 : Καὶ ἡ ἀνάβλεψις Παύλου τοῦ ἀποστόλου. — 2 : Καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ ἐν τῇ Μάνδρᾳ τοῦ στυλίτου, καὶ τῆς μητρὸς αὐτοῦ Μάρθας. Οὗτος ὑπῆρχεν ἐπὶ βασιλέως Λέοντος καὶ Μαρτυρίου ἱεραρχοῦντος Ἀντιοχείας, ὁρμώμενος ἐκ τῆς ἐπαρχίας Κιλίκων, κώμης Σισάν. Ὃς ὑπελθὼν τὸν μοναστὴν βίον καὶ ἐπὶ κίονος ἀνελθὼν τεσσαράκοντα ἑπτὰ χρόνους τελέσας ἐν εἰρήνῃ ἐκοιμήθη. — 7 : Καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου ἐμπρησμοῦ. Ἡ μνήμη ἐμπρησμοῦ ἐστι διὰ τὸ συμβῆναι διὰ τὰς ἁμαρτίας ἡμῶν γενέσθαι ἐμπρησμὸν μέγαν ἐν Κωνσταντινουπόλει ἐπὶ Λέοντος τοῦ μεγάλου βασιλέως καὶ πυρποληθῆναι τὸ πλεῖστον μέρος τῆς πόλεως ἐπὶ ἡμέρας τέσσαρας. — **Fb** : deest. — **B** : 1. 2. 6. 3. — **Ba** : deest initium. 6. 8 (= Fa). 7 (= Fa). 3. — **Bb** : 1. 2. 6. 8. 7. 3. — **T** : 1. 2. 6. 3. 8. — **L** : 1. 8 2 : Συμεὼν τοῦ στυλίτου. Οὗτος ὁ περιβόητος Συμεὼν ὑπῆρχεν μὲν τῆς Ἀντιοχείας τῆς Συρίας· ἔμαθεν δὲ παρὰ τῶν γονέων αὐτοῦ ποιμαίνειν πρόβατα. Σχολάσας δέ ποτε χειμῶνος ὥρᾳ καὶ εἰς τὴν ἁγίαν ἐκκλησίαν ἀνελθὼν καὶ τοῦ θείου ἀκούσας εὐαγγελίου μακαρίζοντος καὶ ἐπαινοῦντος τοὺς τὸν κόσμον μισοῦντας καὶ τὸν Θεὸν ἀγαπῶντας, ἀφῆκεν γονεῖς καὶ πάντα καὶ ἠκολούθησεν τὸν Χριστόν. Καὶ ἀπελθὼν ἐν τῇ λαύρᾳ τῇ λεγομένῃ Μάνδρᾳ ἐγένετο μοναχὸς ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ μεγάλου ἔν ᾗτινι[8] λαύρᾳ τὸ πρῶτον μονάσας καὶ πάντας τοὺς ἐκεῖσε μονάζοντας ἐν πάσαις νικήσας ἀρεταῖς καὶ τὸ σῶμα ἑαυτοῦ πείνῃ[9] καὶ κακουχίᾳ καταμαράνας, καὶ γὰρ ἐνήστευσεν ἐπὶ ἡμέρας σαράκοντα, τὰς μὲν εἴκοσι ἵστατο, τὰς δὲ εἴκοσι ἐκαθέζετο διὰ τὸν κόπον. Ὕστερον δὲ ἀνῆλθεν ἐπὶ στύλον ὑψηλόν[10], ἐν ᾧ πολλὰ θαύματα ποιήσας καὶ μέγας θαυματουργὸς γενόμενος εἰς πάντας ἀνθρώπους καὶ πολλοὺς τῶν ἐθνικῶν καὶ ἀπίστων ἐπιστρέψας πρὸς τὸν Θεὸν καὶ σαράκοντα ἑπτὰ ἔτη τὸν Θεὸν θεραπεύσας ἐτελεύτησεν· παραδοὺς τῷ Κυρίῳ τὴν ἑαυτοῦ ψυχὴν ἐτάφη ἐνδόξως εἰς δόξαν Χριστοῦ. — 6. — **O** : 1 : Ἀρχὴ τῆς ἰνδίκτου ἤτοι τοῦ νέου ἔτους. — 2 : Καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Συμεὼν τοῦ στυλίτου καὶ τῆς μητρὸς αὐτοῦ Μάρθας. — 8 : Καὶ μνήμη τῆς ὑπεραγίας Θεοτόκου τῶν Μιασηνῶν[11]. — 3 : Καὶ τοῦ ἁγίου μάρτυρος Ἀειθαλᾶ καὶ ἄθλησις τῶν ἁγίων τεσσαράκοντα γυναικῶν

— [7] Ἀμμοῦν Fa. — [8] ἑνιτοινὶ L. — [9] πεῖνι L. — [10] στύλου ὑψηλόν L. — [11] Μιασινῶν O.

ποιήσας καὶ ὑποστραφείς, ψήφῳ Θεοῦ καὶ προχειρίσει Μωσέως[4] ἐγχειρίζεται τὴν ἡγεμονίαν τοῦ λαοῦ[5]· καὶ μετὰ ταῦτα στρατηγήσας καὶ τὸν Ἰορδάνην περάσας μετὰ τῆς κιβωτοῦ καὶ τὸν λαὸν ἀβρόχῳ ποδὶ διαβιβάσας καὶ τὴν Ἱεριχὼ παραλαβὼν καὶ τὰς ἄλλας πόλεις χειρωσάμενος, ἃς οἱ ἀλλόφυλοι ᾤκουν, καὶ τούτους[6] κατὰ κράτος τροπωσάμενος· ὅτε καὶ τὸν ἀρχιστράτηγον Μιχαὴλ θεασάμενος[7] ἐσπασμένην ἔχοντα ῥομφαίαν καὶ τούτου τὴν κλῆσιν μαθὼν καὶ εἰς γῆν πεσὼν καὶ προσκυνήσας[8] καὶ παρ' αὐτοῦ ἐνδυναμωθεὶς[9] καὶ διὰ προσευχῆς στήσας[10] τὸν ἥλιον τοῦ ἑαυτοῦ[11] δρόμου, ὥστε μὴ δῦναι, ἕως οὗ τρέψῃ τοὺς ἀλλοφύλους[12]· καὶ εἰσαγαγὼν τὸν[13] Ἰσραὴλ εἰς τὴν γῆν τῆς ἐπαγγελίας καὶ διαμερίσας αὐ|τοῖς ταύτην καὶ κρίνας αὐτοὺς ἔτη εἴκοσι καὶ ἑπτὰ καὶ πολλὴν τὴν ἀνδρίαν καὶ τὴν ἀρετὴν ἐπιδειξάμενος, ἐν εἰρήνῃ ἐτελειώθη[14], ἐτῶν ὑπάρχων ἑκατὸν δέκα, καὶ θάπτεται[15] ἐντίμως παρὰ τοῦ οἰκείου λαοῦ. Sept. 1.

f. 14v.

7. Τῇ αὐτῇ ἡμέρᾳ ἀνάμνησιν ἐπιτελοῦμεν[1] τοῦ κατὰ παραχώρησιν Θεοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐπιγενομένου ἐμπρησμοῦ ἐν ταύτῃ τῇ μεγαλοπόλει, ἐπὶ[2] βασιλείας Λέοντος τοῦ μεγάλου. Ὃς τὸ πλεῖστον[3] τῆς πόλεως κατανεμησάμενος[4] ἐπὶ τέσσαρας ὅλας ἡμέρας, τὴν τελείαν κατάσβεσιν[5] ἐπὶ τῇ ἑβδόμῃ εἴληφε.

8. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὑπεραγίας Θεοτόκου τῶν Μιασηνῶν. Αὕτη τελεῖται διὰ τὴν παραδοξοποιὸν καὶ ἁγίαν εἰκόνα τῆς Θεοτόκου, τὴν ἐν τῇ λίμνῃ μὲν τῆς Γαζουροῦ[1] διὰ τὸν φόβον τῶν εἰκονομάχων ἐμβληθεῖσαν[2] καὶ μετὰ πολὺν χρόνον ἄσπιλον ἀναδοθεῖσαν, μονῇ[3] δὲ τῶν Μιασηνῶν ἀνατεθειμένην. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τοῖς Χαλκοπρατείοις[4] καὶ ἐν τοῖς Οὐρβικίου[5].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Β'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Μάμαντος. Οὗτος ἦν ἐκ τῆς[1] τῶν Παφλαγόνων πόλεως Γάγγρας γονέων χριστιανῶν, Θεοδότου[2] συγκλητικοῦ καὶ Ῥουφίνης[3], ἐπὶ Αὐρηλιανοῦ τοῦ βασιλέως κατασχεθέντων καὶ ἐμφυλακισθέντων διὰ τὴν εὐσέβειαν· ἐγκύμονος οὔσης τῆς μητρός, ἐν τῇ φυλακῇ οὖτος ἀπετέχθη. Τῶν δὲ γονέων τελειωθέντων, ὁ μάρτυς υἱοθετήθη γυναικί τινι συγκλητικῇ Ματρώνῃ· ἣν καὶ συχνάκις τῷ ψελλίσματι μάμαν καλῶν, τουτέστιν μητέρα, Μάμας ἐκλήθη. Ἐτῶν δὲ γενόμενος πεντεκαίδεκα, τοῦ διὰ Χριστὸν μαρτυρίου κατήξατο, πρῶτον παραδοθεὶς Δημο- Sept. 2.

— [4] Μωυσέως S. — [5] ἡγεμονίαν τῶν Ἑβραίων Sa. — [6] τούτοις S. — [7] ἐθεάσατο Sa. — [8] πεσὼν προσεκύνησε Sa. — [9] ἐνεδυναμώθη Sa. — [10] ἔστησε Sa. — [11] *an leg.* αὐτοῦ? — [12] ἀλλοφύλλους Sa. — [13] (εἰσαγαγὼν τὸν) εἰσῆλθε σὺν τοῖς υἱοῖς Sa. — [14] τελειοῦται Sa. — [15] ἐτάφη Sa.

7. — [1] τελοῦμεν Sa. — [2] τῆς *add.* Sa. — [3] μέρος *add.* Sa. — [4] κατενεμησάμενος S. — [5] *corr.* S. *prius* κατάβεσιν.

8. — [1] Γαζοροῦ Sa, Γαζαροῦ Ba. — [2] ἐμβληθείσης S. — [3] (καὶ μετὰ - μονῇ) τῇ μονῇ δὲ Sa. — [4] Χαλκοπρατίοις S. — [5] Οὐρβικίου Sa, Οὐραικίου S.

1. — [1] χώρας *add.* Sa. — [2] υἱὸς Θεοδότου Sa. — [3] ὧν *add.* Sa.

μαρτύρων καὶ ἀσκητριῶν καὶ Ἀμνοῦ διακόνου καὶ διδασκάλου αὐτῶν. Οὗτοι ἐμαρτύρησαν ἐπὶ Λικινίου βασιλέως ἐν Ἀδριανουπόλει τῆς Θρᾴκης, ἡγεμονεύοντος ἐκεῖσε Βαύδου. — 2 : Ἔστι δὲ καὶ ἡ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Συμεὼν τοῦ στυλίτου, τοῦ ἐν τῇ[12] Μάνδρᾳ. Οὗτος ἦν ἐπὶ Λέοντος τοῦ βασιλέως ὁρμώμενος ἐκ πόλεως Ἀντιοχείας τῆς πρὸς Δάφνην. Μονάσας δὲ καὶ σκληροτάταις ἀσκήσεσι διελθὼν καὶ πολλὴν ἐπιδειξάμενος θαυμάτων ἐνέργειαν καὶ ἐπὶ τεσσαράκοντα ἑπτὰ χρόνοις ἐν διαφόροις στύλοις ἑαυτὸν ἀνυψώσας πρὸς Κύριον ἐξεδήμησεν. — 6 : Καὶ τῇ αὐτῇ ἡμέρᾳ ἡ κοίμησις Ἰησοῦ τοῦ Ναυῆ. Ὃς προεφήτευσεν ἔτη εἴκοσι ἑπτά. — 7 : Καὶ τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ μεγάλου ἐμπρησμοῦ γενομένου κατὰ ταύτην τὴν βασιλίδα πόλιν. — 4 : Ἔστι δὲ καὶ ἡ μνήμη τῶν ἁγίων μαρτύρων Ἀγαθοκλείας, Καλλίστης, Εὐόδου καὶ Ἑρμογένους. — **G** : deest. — **C** : deest. — **Cb** : deest. — **M** : 1. 8. 7. 2. — Τῆς ὁσίας Μάρθας, τῆς μητρὸς τοῦ ὁσίου Συμεών, καὶ Εὐανθίας. — 6. 3. 4 : Ἀγαθοκλείας κτλ. Οὗτοι οἱ ἅγιοι μάρτυρες αὐτάδελφοι ὄντες ὡς ἀπὸ μιᾶς γαστρὸς γεννηθέντες διὰ τῆς θείας κολυμβήθρας πνευματικῶς ἀνεγεννήθησαν, κατὰ τοὺς καιροὺς τοῦ κηρύγματος. Ἐπεὶ δὲ ὡς χριστιανοὶ τῷ ἄρχοντι διεβλήθησαν καὶ διεγνώσθη τὸ εὐγενὲς τῆς τούτων ψυχῆς παράστημα καὶ ἀκατάληκτον φρόνημα, τὸν διὰ ξίφους θάνατον κατ' αὐτῶν ἀπεφήνατο ὁ ἄρχων· καὶ τὸν τοῦ μαρτυρίου δρόμον οὕτω τελέσαντες πρὸς Κύριον ἐξεδήμησαν. — **Mv** : 1. 8. 7. 2. — Μάρθας, Εὐανθίας. — 6. 3. 4. — **Mr** : 1. 8. 2. — Μάρθας, Εὐανθίας. — 3. 4.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 4 (... Ἰουλίας...). 1. 2. add. : Τελεῖται ἡ αὐτῶν σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — **P** : 1. 2 (Ἰωάννου). — 5. 2 (Παύλου τοῦ νέου). — **F** : 1. 2. — **Fa** : 1 : Μάμαντος. Ὃς ἦν ἐκ Γάγγρας[1] πόλεως Παφλαγόνων. Ὃς διὰ τὸ ψελλιζούσῃ[2] φωνῇ λέγειν μαμᾶ, Μάμας ὠνομάσθη καὶ πολλαῖς βασάνων αἰκίαις δοκιμασθεὶς καὶ σιδήρῳ τὰ σπλάγχνα[3] διαπαρεὶς τὸ πνεῦμα κατέλιπεν. — 2 : Ἰωάννου τοῦ νηστευτοῦ. Ὃς ἦν ἐπὶ Τιβερίου[4] καὶ Μαυρικίου τῶν βασιλέων ἐν Κωνσταντινουπόλει, γεννηθεὶς καὶ ἀνατραφείς, χαράκτης τὴν τέχνην· καὶ διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν ἀρχιεπίσκοπος προεχειρίσθη Κωνσταντινουπόλεως. Καὶ Sept. 1. Sept. 2.

— [12] εἰς τὴν O.

[1] Γάγγρας Fa. — [2] ψελιζοῦσι Fa. — [3] σπλάσχνα Fa. — [4] Τηβερίου Fa.

Sept. 2. κρίτῳ ἡγεμόνι[4] τῆς Καισαρέων[5], ἔπειτα δὲ Αὐρηλιανῷ τῷ βασιλεῖ παραπεμφθείς. Μετὰ δὲ πολλὰς βασάνους[6] καὶ τὴν εἰς βυθὸν θαλάσσης[7] ῥιφὴν παραδόξως ὑπὸ ἀγγέλου διασωθεὶς καὶ παρ' αὐτοῦ εἴς τι ὄρος τῶν ἐν Καισαρείᾳ ὁδηγηθεὶς κἀκεῖσε μετὰ θηρίων ἀγρίων διάξας καὶ γάλακτι τούτων
f. 15. ἐκτρε|φόμενος κηρύσσων τε τὸ εὐαγγέλιον, ὃ ἐκ τῶν τῆς γῆς λαγόνων ἐκείνῳ τότε ἀνεδόθη, καὶ διὰ τοῦτο πάλιν προδοθεὶς Ἀλεξάνδρῳ ἡγεμόνι Καππαδοκίας καὶ πολλὰ τιμωρηθείς, τέλος δὲ καὶ τριαίνῃ σιδηρᾷ τὰ σπλάγχνα διαπαρεὶς καὶ ταῦτα ἰδίαις χερσὶ διαβαστάζων καὶ τῆς πόλεως ἐξελθών, οὕτω τῷ Κυρίῳ τὸ πνεῦμα παρέδωκε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι ἐν τῷ Σίγματι[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων καὶ ἀοιδίμων πατριαρχῶν ταύτης τῆς θεοφυλάκτου Κωνσταντινουπόλεως Ἰωάννου τοῦ νηστευτοῦ καὶ Παύλου τοῦ νέου. Ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωάννης ὁ νηστευτὴς γέννημα μὲν καὶ θρέμμα γέγονε ταύτης τῆς μεγαλοπόλεως· χαράκτης δὲ προϋπῆρχε τὴν τέχνην καὶ δι' ὑπερβάλλουσαν ἀρετὴν συγκατελέγη τῷ κλήρῳ ἐπὶ χρόνοις[1] Ἰουστίνου καὶ Τιβερίου καὶ Μαυρικίου τῶν βασιλέων· διαλάμψας[2] δὲ τῷ βίῳ, προχειρίζεται ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, διαδεξάμενος Εὐτύχιον τὸν ἁγιώτατον. Τὴν δὲ τοῦ νηστευτοῦ κλῆσιν ἔλαχεν ἐξ αὐτῶν τῶν ἰδίων πράξεων. Λέγεται γὰρ μετὰ τῶν ἄλλων καὶ ταῦτα περὶ αὐτοῦ, ὅτι ἓξ μῆνας διῆλθεν μήτ' ἄρτου γευσάμενος μήθ' ὕδατος· ἠρκεῖτο δὲ καθ' ἑκάστην ἐν καυλίσκῳ ἑνὶ μιᾶς θριδακίνης· ὕπνου δὲ τοσοῦτον μετελάμβανε, τοῖς στέρνοις ἐπισυνάπτων τὰ γόνατα, ὅσον καὶ ῥαφίδος κινούσης[3], ἣν ὑπεκέντει εἰς κηρὸν ἅπτοντα, παραυτίκα αἰσθέσθαι τοῦ ψόφου ταύτης καὶ ἀφυπνίζεσθαι καὶ τῆς ἀκολουθίας ἐπιλαμβάνεσθαι. Τρισκαιδέκατον οὖν ἐνιαυτὸν καὶ μῆνας πέντε κυβερνήσας τὴν ἐκκλησίαν καὶ θαύματα πολλὰ κατεργασάμενος καὶ πλείονα προειπών, ἐν γήρᾳ[4] βαθεῖ μετ' εἰρήνης τὴν ἁγίαν αὐτοῦ ψυχὴν τῷ Θεῷ παραδέδωκεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμεν ἡ μνήμη καὶ[1] τῶν ἑξακισχιλίων ἑξακοσίων εἴκοσι ὀκτὼ ἁγίων μαρτύρων, μαρτυρησάντων ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως. Οὗτοι γὰρ[2] μετὰ τὸ τελειωθῆναι τοὺς ἁγίους δισμυρίους εὑρέθησαν κρυπτόμενοι ἐν ὄρεσι τραχυτάτοις· χριστιανοὺς δὲ ἑαυτοὺς ἀνακηρύξαντες ἐνώπιον τοῦ τυράννου καὶ πέντε ἡγεμόσι[3] παρ' αὐτοῦ | εἰς τὸ τιμωρεῖσθαι ἐκδοθέντες καὶ
f. 15v. πολλὰ παθόντες, ἐκ τῆς προσκαίρου ταύτης ζωῆς πρὸς τὴν αἰώνιον μετεβιβάσθησαν.

4. Τούτοις συνεορτάζεται καὶ μνήμη μαρτύρων Ἀειθαλᾶ καὶ Ἰουνία[1], Φιλίππου καὶ Θεοδότου.

5. Καὶ μνήμη Ἐλεαζάρου καὶ Φινεές, τῶν ἐκ φυλῆς Ἀαρὼν καταγομένων.

— [4] δημοὴρ τω ἡγεμόνη S, Δημοκρίτω ἡγεμόνι Sa, *et ita quoque* Passio S. Mamantis, *apud* Theoph. Ioannu, Μνημεῖα ἁγιολογικά, p. 341. — [5] καισαραίων Sa. — [6] βασάννους S. — [7] τῆς θαλάσσης Sa. — [8] Στίγματι Sa.
2. — [1] χρόνους S, τοῖς χρόνοις Sa. — [2] διαλάμπων Sa. — [3] πιπτούσης Sa. — [4] γήρει Sa.
3. — [1] καὶ *om.* Sa. — [2] γὰρ *om.* Sa. — [3] ἡγεμόνας S.
4. — [1] Ἰουλία Sa.

Sept. 2. μνήμη τοῦ ἐν ἁγίοις Παύλου τοῦ νέου καὶ αὐτοῦ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. — **Fb** : deest. — **B** : 1. 2 (Ἰωάννου). — **Ba** : 1. 2 (Ἰωάννου). — 3 : τῶν ἁγίων μαρτύρων τῶν ἐν τραχείαις τῆς Νικομηδείας ,χκγ' μαρτυρησάντων ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως. Οὗτοι μετὰ τὸ τελειωθῆναι τοὺς ἁγίους δισμυρίους ἐν Νικομηδείᾳ εὑρέθησαν κρυπτόμενοι ἐν ὄρεσι. Χριστιανοὺς δὲ ἑαυτοὺς ἐνώπιον τοῦ τυράννου κηρύξαντες πέντε ἡγεμόσιν πρὸς αὐτοῦ Μαξιμιανοῦ εἰς τὸ τιμωρεῖσθαι ἐκδίδονται. Οἳ διαφόροις βασάνοις τούτους καθυποβαλόντες, τῆς προσκαίρου μὲν ζωῆς ἀπεστέρησαν, πρὸς τὰ αἰώνια δὲ ἀγαθὰ διεβίβασαν. — **Bb** : 1. 2 (Ἰωάννου). — **T** : 1. 2 (Ἰωάννου). — **L** : 1. 2. — **O** : 1 et 4 : Μάμαντος, Ἀειθαλᾶ, Ἰουλιανοῦ, Φιλίππου καὶ Θεοδότου μαρτυρήσαντος ἐπὶ Αὐρηλιανοῦ βασιλέως. Ὁ δὲ τρόπος τῆς μαρτυρίας <οὗτος[5]>. Μετὰ τὸ πολλὰς διελθεῖν βασάνων ἰδέας, τὸ τελευταῖον καταλευσθεὶς ἐπὶ λόγχας ἐκκεντηθεὶς τὸν στέφανον ἐκομίσατο. Ἦν δὲ πατρὸς Θεοδότου καὶ μητρὸς Ῥουφίνας τῆς Παφλαγόνων χώρας, πόλεως Γάγγρας. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Σίγματι[6]. — 2 : τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων ταύτης τῆς θεοφυλάκτου καὶ βασιλιδιπόλεως[7] Ἰωάννου τοῦ νηστευτοῦ καὶ Παύλου τοῦ νέου. Ἦν δὲ ὁ ἐν ἁγίοις Ἰωάννης ἐπὶ Ἰουστίνου καὶ Τιβερίου καὶ Μαυρικίου τῶν βασιλέων ἐν Κωνσταντινουπόλει γεννηθείς, πρὸ δὲ τοῦ κείρεσθαι καὶ τὴν τάξιν τῶν κληρικῶν μετελθεῖν, χαράκτης τὸ ἐπιτήδευμα ἦν· διὰ δὲ[8] ὑπερβάλλουσαν ἀρετὴν καὶ βίου λαμπρότητα μετὰ ταῦτα ἀρχιεπίσκοπος προεχειρίσθη, διαδεξάμενος Εὐτύχιον τὸν ἁγιώτατον· ὃς καὶ πολλῶν σημείων αὐτουργὸς γεγονώς, ἐν εἰρήνῃ τὴν μακαρίαν ψυχὴν αὐτοῦ τῷ Κυρίῳ παρέδωκεν. Τελεῖται δὲ ἡ σύναξις αὐτῶν ἐν τῷ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — **G** : deest. — **C** : deest. — **Cb** : deest. — **M** : 1. 2. — Διομήδης σπαθιζόμενος τ. — Ἰουλιανὸς ξύλῳ τὴν κεφαλὴν συντριβεὶς τ. — Φίλιππος ξ. τ. — Εὐτυχιανὸς ἐν ἐσχάρᾳ πυρὸς τ. — Ἡσύχιος ἀπαγχονισθεὶς τ. — Λεονίδης[9] ξ. τ. — Εὐτύχιος σταυρωθεὶς τ. — Φιλάδελφος λίθῳ τράχηλον βαρυνθεὶς τ. — Μελάνιππος π. τ. — Παρθαγάπη ἐν τῇ θαλάσσῃ τ. — rursus : Μνήμη Παύλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ. — 5. — Ἀειθαλᾶ καὶ Ἀμμοῦν (Sept. 1[3]). — **Mv** : 1. 2. — Διομήδης. — Ἰουλιανός. — Φίλιππος. — Εὐτυχιανός. — Ἡσύχιος. — Λεονίδης. — Εὐτύχιος. — Φιλάδελφος. — Μελάνιππος. — Παρθαγάπη. — rursus : Παύλου. — 5 : Ἀειθαλᾶ καὶ Ἀμμοῦν. — **Mr** : 1. 2 (Ἰωάννου).

— [5] οὗτος *om.* O. — [6] Στίγμα O. — [7] βασιλο,'' πόλεως O. — [8] δὲ διὰ O. — [9] Λεωνίδης M.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Γ'.

1. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἀνθίμου. Οὗτος ἐπίσκοπος γέγονε Νικομηδείας ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, μετὰ δὲ τὸν ἐμπρησμὸν τῆς Νικομηδέων ἐκκλησίας, ὃς προστάξει γέγονε τῶν τυράννων, καὶ τὴν καῦσιν τῶν δισμυρίων ἁγίων μαρτύρων ἐν ὄρει κρυπτόμενος παρεδόθη Μαξιμιανῷ. Πολλαῖς[1] καὶ ἀνυποίστοις ὑπ' αὐτοῦ τιμωρίαις ὑποβληθεὶς καὶ προφητευσάμενος[2] αὐτῷ ταχεῖαν τῆς βασιλείας ἀπόθεσιν[3], ἐπεὶ ἐώρακεν αὐτὸν[4] τὴν ἰδίαν πορφυρίδα διαρρήξαντα ὑπὸ θυμοῦ[5] διὰ τὸ μὴ καταναλοῦσθαι[6] τοῦτον[7] ὑπὸ τῶν τιμωριῶν, ὕστερον κατὰ ἀπόφασιν μαχαίρᾳ τὴν τιμίαν αὐτοῦ κεφαλὴν ἀποτέμνεται· ἥτις ἄχρι τοῦ νῦν θαυματουργοῦσα τρίχας[8] ἐκφύει ἐκ ξηροῦ ὀστοῦ[9].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοκτίστου συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου.

3. Καὶ τῆς ἁγίας μάρτυρος Βασιλίσσης. Αὕτη ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως οἰκοῦσα ἔξω τῆς πόλεως Νικομηδείας· καὶ ἐνναετὴς ὑπάρχουσα, κρατηθεῖσα καὶ παραστᾶσα τῷ ἡγεμόνι Ἀλεξάνδρῳ, ὁμολογεῖ τὸ ὄνομα τοῦ δεσπότου[1]· διὸ[2] τύπτεται κατὰ πρόσωπον καὶ γυμνωθεῖσα ῥαβδίζεται· εἶτα τρυπᾶται τοὺς ἀστραγάλους καὶ μετὰ ὀγκίνων καὶ ἀλύσεως κρεμᾶται κατὰ κεφαλῆς καὶ ὑποκαπνίζεται πίσσαν καὶ θεάφην, ἅτινα οὐκ ἔβλαψαν αὐτήν· εἶτα ἐμβάλλεται εἰς κάμινον πυρὸς καὶ ἐξέρχεται ὑγιής. Μετὰ δὲ ταῦτα παραδοθεῖσα δύο[3] λέουσιν εἰς βρῶσιν οὐκ ἀδικεῖται· ἀλλ' ἐπισπᾶται καὶ αὐτὸν τὸν Ἀλέξανδρον πρὸς τὴν εἰς Χριστὸν πίστιν. Αὐτὴ δὲ[4] ἐξελθοῦσα ἔξω τῆς πόλεως καὶ διψήσασα ηὔξατο καὶ ἐξῆλθεν ὕδωρ καὶ ἔπιεν. Εἶτα στᾶσα ἐπάνω πέτρας καὶ εὐξαμένη ἀπέδωκε τῷ Κυρίῳ τὴν ἑαυτῆς ψυχὴν καὶ ἐτάφη πλησίον τῶν ἀναβλυσάντων ὑδάτων. Γίνεται δὲ ἡ δι' ἔτους | αὐτῆς σύναξις ἐν τῇ μονῇ τῆς Μαρίας πλησίον τοῦ τείχους τῶν Βλαχερνῶν.
f. 16.

1. — [1] δὲ *add.* Sa. — [2] προφητευσόμενος S. — [3] τὴν ταχείαν ἀπόθεσιν τῆς βασιλείας Sa. — [4] *om.* Sa. — [5] τοῦ θυμοῦ Sa. — [6] καταναλώσθαι Sa. — [7] τοῦτον τιμωρούμενον Sa. — [8] τρίχα Sa. — [9] τελεῖται κτλ. *add.* Sa *inter* Synaxaria selecta.
3. — [1] δεσπότου Χριστοῦ Sa. — [2] καὶ *add.* Sa. — [3] παρὰ δύο Sa. — [4] δὲ *om.* Sa.

SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πέραν, πλησίον τῆς μονῆς τοῦ Πικριδίου. — 2. 3. 4. 5. 6. — **H** : 1 (des. : ἔστι δὲ ἡ σύναξις αὐτοῦ πέραν εἰς τὸ Κέρας). 3. 4. 5. 6. — **P** : 1 (Ἀνθίμου ἐπισκόπου Νικομηδείας ἐν τῇ Χώρᾳ). — 3. 4. 2. 5. — **F** : 1. — Τῶν ἁγίων τρισχιλίων (Sept. 2[3]). — Ἐλεαζάρου καὶ Φινεές (Sept. 2[5]). — 3. 2. 5. 6. — **Fa** : 1 : Ἀνθίμου ἐπισκόπου Νικομηδείας· ὃς ὑπὸ Μαξιμιανοῦ τὸν τένοντα θλασθεὶς καὶ περόναις τοὺς ἀστραγάλους διαπερονηθεὶς καὶ κνημίδα ὑποδεθεὶς καὶ τροχῷ προσδεθεὶς πυρὶ φλογίζεται καὶ καρατομεῖται. — Τῶν ἁγίων τρισχιλίων ἑξακοσίων ὀκτὼ μαρτύρων, οἵτινες εὑρέθησεν κρυπτόμενοι ἐν τραχείαις Νικομηδείας· οὓς ὁ Μαξιμιανὸς μυρίαις ὑποβαλὼν αἰκίαις θανάτῳ παρέδωκεν. — Ἐλεαζάρου τοῦ ἱερέως καὶ Φινεές. — 3 : Βασιλίσσης. Ἥτις ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως καὶ Ἀλεξάνδρου ἡγεμόνος. Αὕτη χρόνων οὖσα θ' τὰς χεῖρας καὶ τοὺς πόδας δεσμευθεῖσα τῷ πυρὶ ἐναπερρίφη. καὶ περισωθεῖσα θείᾳ δυνάμει ὕδωρ διὰ προσευχῆς ἀναβλύσαι ἐποίησεν. Καὶ πιοῦσα[1] τὴν ἁγίαν αὐτῆς τῷ Θεῷ ἐπαφῆκεν ψυχήν. — 4 : Ἀριστίονος ἐπισκόπου Ἀλεξανδρείας. — 2 : Θεοκτίστου συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου. — 5 : Στεφάνου ὁμολογητοῦ καὶ ἡγουμένου Τριγλείας. — 6 : Κωνσταντίνου τοῦ νέου ἐν τοῖς Ἁγίοις Ἀποστόλοις. — **Fb** : 1. add. : τῶν ἁγίων τρισχιλίων. Ἐλεαζάρου καὶ Φινεές. — 3. 4. 2. 5. 6. — **B** : 1. 3. 4. — **Ba** : 1. 3. 4. — **Bb** : 1. 3. 4. — **T** : 1. — **L** : 1. — **O** : 1 : Ἀνθίμου. Οὗτος ἤθλησεν ἐν αὐτῇ τῇ χώρᾳ ἐπὶ Μαξιμιανοῦ βασιλέως, δριμυτάταις ὀδύναις πολλῶν προσπαλαίσας βασάνων καὶ τέλος διὰ ξίφους τμηθείς. Ἔστι δὲ ἡ σύναξις αὐτοῦ πέραν εἰς τὴν Κερατίαν. — 3 : Βασιλίσσης, μαρτυρησάσης ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Ἀλεξάνδρου ἡγεμόνος, ὑποβληθείσης καὶ αὐτῆς πολλοῖς καὶ ἀνυποίστοις[2] κολάσεων τρόποις· ὑπῆρχεν δέ, ὅτε τὰς ὑπὲρ ἄνθρωπον τιμωρίας ὑπέμενεν, ἐνναετὴς τὴν ἡλικίαν, παραδόξου τυχοῦσα τῆς τελευτῆς. Τοῦ γὰρ πυρὸς ἐν ᾧ δεσμευθεῖσα ἐπερρίφη ταύτης μηδ' ὅλως ἁψαμένου, ἔξω τῆς πόλεως ἐξελθοῦσα ὕδωρ ἀναβλῦσαι πεποίηκεν. Οὕπερ πιοῦσα καὶ ἐπί τινος πέτρας στᾶσα τὴν ἁγίαν αὐτῆς ἀφῆκεν ψυχήν. Τοῦτο γὰρ ηὔξατο· καὶ κηδεύεται πλησίον τῶν ἀναδοθέντων ὑδάτων. Γίνεται δὲ ἡ δι' ἔτους αὐτῆς σύναξις ἐν τῇ μονῇ τῆς Μαρίας πλησίον τοῦ τείχους Βλαχερνῶν. — 4 : Τελεῖται δὲ καὶ ἡ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀριστίωνος ἐπισκόπου Ἀλεξανδρείας. — 2 : Θεοκτίστου, συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου. — 5 : Καὶ Στεφάνου τῆς Τριγλείας. — 6 : Μνήμη τοῦ ἐν ἁγίοις βασιλέως Κωνσταντίνου τοῦ νέου ἐν τοῖς Ἁγίοις Ἀποστόλοις. — **G** : 1 : Ἀνθίμου ἐπισκόπου Νικομηδείας[3]. Ὃς προκαθεσθέντος Μαξιμιανοῦ[4] τοῦ βασιλέως ἐπὶ βήματος, δέσμιος ἤχθη, προκειμένων πάντων τῶν κολαστηρίων ὀργάνων. Καὶ ἐπεὶ[5] ἐρωτηθεὶς[6], τὸν Χριστὸν παρρησίᾳ ἐκήρυξεν, θλᾶται τὸν τένοντα[7] σιδηραῖς περόναις, καὶ τοὺς ἀστραγάλους διατιτρᾶται[8] καὶ ἐπ' ὀστράκου[9] γυμνὸς ἁπλοῦται· καὶ ῥάβδοις τύπτεται καὶ περικνημίδας χαλκᾶς πυρακτωθείσας ὑποδεθεὶς ἐλαύνεται καὶ τροχῷ δεσμεῖται· καὶ τελευταῖον τὴν κεφαλὴν[10] ἀποτέμνεται. — 3 : Βασιλίσσης. Ἥτις ἐπὶ Διοκλητιανοῦ ἦν βασιλέως

Sept. 3.

Sept. 3.

[1] ποιοῦσα Fa. — [2] ἀνυπίστοις O. — [3] Νικωμίδης G. — [4] Μαξημιανοῦ G. — [5] ἐπὶ G. — [6] ἐρρωτηθέντος G. — [7] τέναντα G. — [8] διὰ τῆ τρᾶτε G. — [9] ἐπόστρᾶκου G. — [10] καὶ φαλὴν G.

Sept. 3. **4.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ὁσίου καὶ ἱερομάρτυρος Ἀριστίωνος. Οὗτος ἐπίσκοπος γέγονεν Ἀλεξανδρείας. Διδάσκων δὲ παρρησίᾳ[1] τὸν λόγον τοῦ Θεοῦ καὶ τὴν σωτήριον ἐπιφάνειαν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν καὶ τὴν καταφρόνησιν τῶν ἀνθρωπίνων, κρατεῖται παρὰ τοῦ τῆς Ἀλεξανδρείας ἄρχοντος, καὶ παραδοθεὶς τῷ πυρὶ δι' αὐτοῦ τελειοῦται.

5. Τῇ αὐτῇ ἡμέρᾳ συνέφθασε καὶ[1] μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Στεφάνου, ἡγουμένου Τριγλείας.

6. Καὶ τοῦ ἐν ἁγίοις βασιλέως Κωνσταντίνου τοῦ νέου ἐν τοῖς Ἀποστόλοις[1].

ΤΩ ΑΥΤΩ ΜΗΝΙ Δ'.

Sept. 4. **1.** Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος[1] Βαβύλα, πατριάρχου Ἀντιοχείας. Ὃς[2] ἦν ἐπὶ[3] χρόνοις Νουμεριανοῦ τοῦ βασιλέως, δι' οὗ καὶ τὸν μαρτυρικὸν ἆθλον διήνυσεν. Ἐπειδὴ γὰρ αὐτὸς μὲν εἰδώλοις ἔθυε, καί ποτε ὑπὸ τῶν ἰδίων θεῶν τῶν δαιμόνων ἐκβακχευθεὶς[4] ἔσφαξε πρὸς θυσίαν καὶ υἱὸν τοῦ Περσῶν βασιλέως, ὃν εἰς ἐνέχυρον ἀγάπης παρέλαβεν· οἱονεὶ δὲ ἀγασθεὶς τῷ τολμήματι ἠθέλησε καὶ πρὸς τὴν τῶν χριστιανῶν ἐκκλησίαν εἰσελθεῖν καὶ ταύτην βεβηλῶσαι, ὡς ἐδόκει ὁ βέβηλος, καὶ τὸν ἅγιον κατακερτομῆσαι, προϋποθεὶς αὐτῷ κλοιὰ κατά τε τὸν τράχηλον καὶ τοὺς πόδας καὶ εἰς τὸ μέσον προάξας καὶ εἰπών· « Μὰ τοὺς θεούς, Βαβύλα, πρέποντές σοι[5] οἱ κλοιοί. » Καὶ ἀντακούσας ὡς· « Ὑπὲρ τὸ διάδημά σου οὗτοι » εὐπρεπέστεροί μοι· » καὶ ἀπελάθεὶς ἐκ τῆς ἐκκλησίας μετ' ἐλεγμοῦ διὰ τὸν φόνον τοῦ παιδὸς ὡς ἀνδράποδον, ἀπεφήνατο τὸν ἱερομάρτυρα ἀποκεφαλισθῆναι σὺν τοῖς τρισὶν αὐτοῦ νηπίοις μαθηταῖς. Ὧν τῆς[6] ἐνστάσεως καὶ πεῖραν ἔλαβεν ὁ τύραννος καὶ τοιούτου διδασκάλου μαθητὰς τοιούτους εὑρὼν καὶ μετὰ τοὺς αἰκισμοὺς τῇ αἰωνίᾳ ζωῇ καὶ μὴ εἰδὼς ὁ ἄθλιος | διὰ σφαγῆς συμπαρέπεμψε. f. 16ᵛ. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Σαλουστίου[7] καὶ ἐν τῇ μονῇ τῇ ἐπιλεγομένῃ τῆς Χώρας[8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρου[1] Βαβύλα, διδασκάλου γενομένου[2] ἐν Νικομηδείᾳ[3]. Οὗτος[4] παραστὰς[5] ἐν τῇ αὐτῇ πόλει μετὰ ὀγδοήκοντα τεσσάρων αὐτοῦ μαθητῶν ψελλιζόντων ἔτι ὄντων[6] καὶ τὸν Χριστὸν κηρύξας[7], λίθοις τὰς[8] παρειὰς[9] τυφθεὶς[10] καὶ τοὺς ἀστραγάλους καταθραυσθεὶς[11] καὶ τοὺς ὤμους θλασθεὶς[12] καὶ κλοιοῖς βαρυνθεὶς[13], τελευταῖον[14] σὺν τοῖς τοσούτοις[15] παισὶ[16] τὴν κεφαλὴν[17] ἀποτέμνεται[18].

4. — [1] τὸν λαὸν *add.* Sa.
5. — [1] συνέφθασε καὶ *om.* Sa.
6. — [1] ἁγίοις ἀποστόλοις Sa.
1. — [1] Ἄθλησις τοῦ ὁσίου καὶ ἱερομάρτυρος Sa. — [2] οὗτος Sa. — [3] ἐν τοῖς Sa. — [4] ἐκβαχευθεὶς S. — [5] σε Sa. — [6] τῆς εὐσεβοῦς Sa. — [7] Βλουστίου Sa. — [8] νῦν δὲ τελεῖται κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] τοῦ ἁγίου μάρτυρος Ba.— [2] (διδασκ. γεν.) τοῦ Ba.— [3] καὶ τῶν σὺν αὐτῷ ΠΔ νηπίων τῶν μαθητῶν αὐτοῦ *add.* Ba. — [4] ὁ ἅγιος Βαβύλας Ba. — [5] τῷ Μαξιμιανῷ *add.* Ba. — [6] (ἐν τῇ - ὄντων) *om.* Ba. — [7] συγκηρύξας Sa. — [8] τῷ Sa, κατὰ τῶν Ba. — [9] παρειῶν Ba. — [10] τύπτεται Ba. — [11] καταθραύεται Ba. — [12] θλᾶται Ba. — [13] (καὶ κλοιοῖς βαρυνθεὶς) *om.* Sa ; καὶ τὸν αὐχένα κλοιοῖς βαρύνεται Ba. — [14] καὶ τελευταῖον Ba. — [15] ΠΔ' νηπίοις τοῖς φυτηταῖς αὐτοῦ Ba. — [16] ἔιφει Ba. — [17] αὐτοῦ *add.* Ba. — [18] τέμνεται Ba.

Sept. 3. καὶ Ἀλεξάνδρου ἡγεμόνος. Αὕτη χρόνων οὖσα θ' τὰς χεῖρας[11] καὶ τοὺς πόδας δεσμευθεῖσα τῷ πυρὶ ἐναπερρίφη καὶ περισωθεῖσα[12] θείᾳ δυνάμει ὕδωρ διὰ προσευχῆς ἀναβλῦσαι ἐποίησεν. Καὶ πιοῦσα[13] τὴν ψυχὴν τῷ Θεῷ παρατίθεται. — 4 : Ἀριστίωνος ἐπισκόπου Ἀλεξανδρείας. — 2 : Θεοκτίστου, συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου[14]. — 5 : Στεφάνου ὁμολογητοῦ καὶ ἡγουμένου Τριγλίας. — 6 : Κωνσταντίνου[15] τοῦ νέου ἐν τοῖς Ἀποστόλοις. — **C** : deest. — **Cb** : deest. — **M** : 1. — Ζήνων ἐν λέβητι μολίβδου παφλάζοντος βληθεὶς τ. — 3. — Χαρίτων ἐν λάκκῳ ἀσβέστου βληθεὶς τ. — 4. — Ἀρχοντίων λιμῷ τ. — 2. 5. 6. rursus 4. — **Mv** : 1. — Ζήνων. — 3. 4. 2. — Χαρίτων. — rursus 4. — **Mr** : 1.

Sept. 4. SYNAXARIA SELECTA. **Sa** : 1. add. : νῦν δὲ τελεῖται ἐν τῇ μονῇ τῶν Στουδίου, ἔνθα καὶ τὸ ἅγιον αὐτοῦ σῶμα κατάκειται σῶον. — 2. 3. 4. 5. 6. — **H** : 2 : Βαβύλα πατριάρχου Ἀντιοχείας καὶ τῶν σὺν αὐτῷ πδ' νηπίων... Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Ἀλουστίου πλησίον τοῦ Ἑβδόμου καὶ ἐν τῇ μονῇ τῇ λεγομένῃ τῆς Χώρας. — 4. 5., des. : Τελεῖται δὲ ἡ αὐτῶν σύναξις πλησίον τοῦ ἁγίου Ῥωμανοῦ. — 3. — **P** : 1. 2. 6 (om. Κεντυρίωνος). — 4. 5 (Πετρωνίου καὶ Χαριτίνης πλησίον τοῦ ἁγίου Ῥωμανοῦ). — 3. — **F** : 3. 4. 6. 2. 1. — **Fa** : 3. 4. 6. 2. 1. — **Fb** : 3. 4. 6. 2. 1. — **B** : 1. 6. 4. 3. — **Ba** : 1. 2. 6. 4. 3 : Μωσέως. Ὃς Ἑβραῖος μὲν ἦν τὸ γένος ἐκ φυλῆς Λευΐ· γεννᾶται δὲ ἐν Αἰγύπτῳ. Ἔκθετος δὲ κατὰ τὸ βασιλικὸν πρόσταγμα γενόμενος, βρέφος ὢν ἔτι, ἐν τῷ ποταμῷ ὑπὸ τῆς τοῦ βασιλέως ἀναλαμβάνεται θυγατρὸς καὶ υἱοποιεῖται καὶ πάσῃ σοφίᾳ Αἰγύπτου παιδεύεται. Τοῦ σαρακοστοῦ χρόνου ἐπιβάς, ἄνδρα Αἰγύπτιον διαχειρίζεται καὶ εἰς γῆν Μαδιὰμ φεύγων ἔρχεται καὶ Σεπφώραν τὴν τοῦ Ἰοθὸρ[1] θυγατέρα εἰς γυναῖκα λαμβάνει καὶ Θεὸν ἐν φλεγομένῃ βάτῳ καθορᾷ καὶ προσομιλεῖ· καὶ εἰς Αἴγυπτον αὖθις πρὸς τοῦ Θεοῦ πέμπεται καὶ θεὸς Φαραὼ γίνεται, τῷ ἀδελφῷ Ἀαρὼν ὡς προφήτῃ χρώμενος· καὶ σκότῳ κολάζει τὴν Αἴγυπτον καὶ εἰς αἷμα μεταβάλλει τὰ ὕδατα· καὶ πλῆθος βατράχων κατ' αὐτῆς ἐκπέμπει· καὶ κυνομυῖα καὶ σκνιπὶ[2] ἐκτρίβει· καὶ χαλάζῃ βραζούσῃ καταφλέγει· καὶ ἀκρὶς

— [11] χήρας G. — [12] περισωθὲν G. — [13] ποιοῦσα G. — [14] Εὐθοιμίου G. — [15] κε κω G.
[1] Ἰωθὼρ Ba. — [2] σκινιπὶ Ba.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη Μωσέως τοῦ νομοθέτου καὶ προφήτου. Ὃς ἐγεννήθη μὲν ἐν τῇ Αἰγύπτῳ υἱὸς[1] Ἄβραμ, ἑνὸς τῶν Ἑβραίων, καταγομένου[2] ἐκ φυλῆς Λευΐ. Ἀστεῖος δὲ καὶ εὐμορφότατος ἀναφανεὶς τῇ μητρί, οὐκ ἀπεκτάνθη κατὰ τὸ πρόσταγμα Φαραώ, ἀλλ' εἰς κιβώτιον ἐμβληθεὶς ζῶν ἐρρίφη ἐν τῷ ποταμῷ. Ὃν καταβᾶσα ἡ θυγάτηρ Φαραὼ λούσασθαι εὑροῦσα[3] ἔτι ζῶντα, ἀνείλετο καὶ υἱοποιήσατο καὶ ἐξεπαίδευσεν ἐν πάσῃ Αἰγυπτιακῇ σοφίᾳ. Οὗτος ἀνδρωθεὶς καὶ εἰς τεσσαρακοστὸν ἔτος φθάσας, ἄνδρα Αἰγύπτιον πατάξας διὰ τὸ ἰδεῖν τύπτοντα ὁμογενῆ αὐτοῦ Ἑβραῖον, ἔκτεινε καὶ εἰς τὴν[4] ἄμμον κατέκρυψε. Φοβηθεὶς δὲ διὰ τοῦτο, μὴ δῆλος γένηται (ἠπειλήθη γὰρ παρά τινος ὁμοεθνοῦς ὁρῶντος), φεύγει εἰς γῆν Μαδιάμ· καὶ Σεπφώραν τὴν τοῦ Ἰοθὸρ θυγατέρα εἰς γυναῖκα λαμβάνει καὶ Θεὸν ἐν φλεγομένῃ βάτῳ καθορᾷ καὶ[5] προσομιλεῖ καὶ παρ' αὐτοῦ προστάττεται αὖθις ἀπελθεῖν εἰς Αἴγυπτον καὶ ἐξαγαγεῖν τὸν λαὸν τῶν Ἑβραίων ἐκ χειρὸς Φαραώ, οὗ καὶ θεὸς γίνεται. Καὶ τῷ ἀδελφῷ Ἀαρὼν ὡς προφήτῃ χρᾶται καὶ κολάζει τὴν Αἴγυπτον σκότῳ καὶ μεταβολῇ ὑδάτων εἰς αἷμα καὶ ἀποστολῇ πληθυσμοῦ βατράχων καὶ κυνομυῖᾳ καὶ σκνιπὶ[6] καὶ χαλάζῃ βραζούσῃ[7] καὶ ἀκρίδι καὶ βρούχῳ καὶ θανάτῳ πρωτοτόκων· καὶ ἐν ἀργυρίῳ καὶ χρυσίῳ τὸν Ἰσραηλίτην λαὸν τῆς | Αἰγύπτου ἐξάγει· καὶ τὴν θάλασσαν ῥάβδῳ f. 17. πλήττει καὶ διαιρεῖ, ὥστε τὸν λαὸν διελθεῖν, καὶ ἐκ πέτρας ὕδωρ ἐξάγει· καὶ τεσσαρακονταετῆ μέρον νῆστις προσεδρεύσας καὶ[8] Θεὸν εἶδεν, ὡς ἀνθρώπῳ δυνατόν, καὶ διελέχθη στόμα κατὰ στόμα, πλάκας τε θεογράφους ἐδέξατο καὶ τὸ πρόσωπον ἐθεώθη καὶ διὰ παραπετάσματος τῷ λαῷ προσωμίλει καὶ ἕτερα πλεῖστα εἰργάσατο τέρατα λόγον καὶ ἀκοὴν ὑπερβαίνοντα. Οὗτος οὖν ὁ τοιοῦτος καὶ τηλικοῦτος, ὁ τεσσαράκοντα ἔτη στρατηγήσας, ἐπεὶ διὰ τῆς τοῦ ὕδατος ἀντιλογίας τὸν Θεὸν παρώξυνεν, ἐπειπὼν πρὸς τὸν λαὸν διψῶντα καὶ καταγογγύζοντα αὐτοῦ· « Μὴ δύνα- » μαι ἐκ τῆς πέτρας ταύτης ἐξαγαγεῖν ὕδωρ καὶ » ποτίσαι ὑμᾶς ; » οὐ παρεχωρήθη εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἀλλὰ κελευσθεὶς πρὸς Θεοῦ εἰς τὸ ὄρος ἀνελθεῖν Ἀβαρεὶθ[9] ἐν γῇ Μωὰβ καὶ ἀπὸ μακρόθεν κατιδεῖν τὴν Παλαιστίνην, ἐκεῖσε εἰς τὸ ὄρος τελευτᾷ. Καὶ θάπτεται ὑπὸ[10] ἀρχιστρατήγου Μιχαὴλ σκεπασθεὶς καὶ μηδενὶ ἔκτοτε ὁραθείς. Προέλαβε δὲ τὴν τοῦ Χριστοῦ παρουσίαν[11] ἔτη χίλια τετρακόσια ὀγδοήκοντα πέντε.

4. Τῇ αὐτῇ ἡμέρᾳ τῆς[1] ἁγίας μάρτυρος Ἑρμιόνης, θυγατρὸς Φιλίππου τοῦ ἀποστόλου. Αὕτη ὑπῆρχεν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως προφητεύουσα μετὰ τριῶν αὐτῆς ἀδελφῶν. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν εὐχῆς χάριν καὶ διδασκαλίας παραλαβοῦσα μίαν τῶν ἀδελφῶν αὐτῆς ὀνόματι Εὐτυχίδα, παρεγένετο εἰς Ἔφεσον προσκυνῆσαι τὸν ἅγιον Ἰωάννην τὸν θεολόγον· ἀλλ' οὐχ εὗρεν αὐτόν· μετετέθη γάρ. Κατὰ συγκυρίαν δὲ καὶ Τραϊανὸς ἀπελθὼν ἐκ Ῥώμης εἰς Ἔφεσον, πρὸς τὸν κατὰ Περσῶν πόλεμον ὁρμώμενος, εὗρε τὸ ὄνομα τῆς ἁγίας μέγα ἐν τῇ Ἀσίᾳ (ἦν γάρ, ὡς ἔφημεν, προφητεύουσα) καὶ κρατήσας αὐτὴν καὶ βιασάμενος ἀρνήσασθαι τὸν Χριστόν, οὐκ ἔπεισε, καίτοι | καὶ κατὰ τοῦ f. 17ᵛ. προσώπου τύψας. Ὡς δὲ προεῖπεν αὐτῷ ὅτι· « Πέρσας νικήσεις καὶ μετὰ σὲ οὐκ ἀλλότριος κρα- » τήσει τῆς βασιλείας, ἀλλ' ὁ ἐπὶ θυγατρί σου γαμ- » βρός », ἀφείθη. Μετὰ δὲ ταῦτα τούτων οὕτως[2]

3. — [1] γεγονὼς *add.* Sa. — [2] καταγόμενος Sa. — [3] ἐοροῦσα Sa. — [4] τὴν *om.* Sa. — [5] καὶ τοῦ τω Sa. — [6] σκνιπὶ S, cf. Exod. 8, 16 : καὶ ἔσονται σκνῖφες. — [7] βραττούσῃ Sa. — [8] καὶ *om.* Sa. — [9] Ἀβαρεὶθ S, Sa, Ἀβαρίμ, Ἀβαρεὶμ, Deuteron. 34, 49. — [10] ὑπὸ τοῦ Sa. — [11] παρρουσίαν S.
4. — [1] μνήμη τῆς Sa. — [2] οὕτω Sa.

καὶ βροῦχος ἐπιστρατεύει· καὶ τὰ πρωτότοκα θανατοῖ· καὶ ἐν ἀργυρίῳ καὶ χρυσίῳ τὸν Ἰσραηλίτην λαὸν πειρᾶται διελθεῖν καὶ ἐκ πέτρας ὕδωρ ἐξάγει καὶ μ' ἡμέρας καὶ μ' νύκτας νῆστις προσεδρεύσας Θεὸν μὲν εἶδεν ὡς ἀνθρώπῳ δυνατὸν ἦν ἰδεῖν· καὶ προσδιελέχθη στόμα κατὰ στόμα, πλάκας δὲ τὰς θείας δακτύλῳ Θεοῦ γραφείσας ἐδέξατο καὶ τὸ πρόσωπον ἐθεώθη καὶ διὰ παραπετάσματος τῷ λαῷ προσωμίλησεν καὶ ἕτερα πλεῖστα εἰργάσατο τέρατα, λόγον καὶ ἀκοὴν ὑπερβαίνοντα. Οὗτος οὖν ὁ τοιοῦτος καὶ τηλικοῦτος, ἐπεὶ διὰ τῆς τοῦ ὕδατος ἀντιλογίας τὸν Θεὸν παρώξυνεν ἐν τῷ ὄρει Ἀβαρεὶθ πρὸς Θεοῦ κελευσθεὶς ἀνελθεῖν ἐν γῇ[3] Μωὰβ καὶ τὴν γῆν τῆς ἐπαγγελίας ὀφθαλμοῖς κατιδεῖν, ἐκεῖσε τελευτᾷ ἐτῶν ὑπάρχων ρκ'. Ἔλαβε[4] δὲ τὴν παρουσίαν τοῦ Χριστοῦ ἔτη ,αυπε'. — **Bb** : 1. 6. 4. 3. — **T** : 1. 2. — **L** : 1 : Βαβύλα καὶ τῶν σὺν αὐτῷ τριῶν ἁγίων νηπίων. — 2 : Ἄθλησις καὶ ἑτέρου ἁγίου ἱερομάρτυρος Βαβύλα ἐν Νικομηδείᾳ γενομένου διδασκάλου ἅμα τοῖς[5] σὺν αὐτῷ πδ συμφοιτηταῖς. — 6 : Θεοδώρου, Ἀμιανοῦ, Ἰουλιανοῦ καὶ Ὠκεανοῦ. — 4 : Ἑρμιόνης θυγατρὸς Φιλίππου τοῦ ἀποστόλου (= S). — 3 : Μωϋσέως τοῦ νομοθέτου καὶ θεόπτου. Μωϋσῆς ὁ προφήτης καὶ νομοθέτης γέγονεν υἱὸς Ἀβραὰμ ἑνὸς τῶν Ἑβραίων γεννηθεὶς ἐν Αἰγύπτῳ. Ἐπεὶ δὲ πρόσταγμα ἦν τοῦ Φαραὼ βασιλέως Αἰγύπτου ὥστε τὰ μὲν θήλεα τῶν βρεφῶν περιποιεῖσθαι, τὰ δὲ ἄρρενα ἀναιρεῖσθαι, ἰδοῦσα τὸν Μωϋσὴν ἡ μήτηρ αὐτοῦ ὅτι ἐστὶν εὔμορφος καὶ ἐλεήσασα φονεῦσαι, ἐνέβαλεν εἰς κιβώτιον ἤτοι συρτάριον <καὶ[6]> ἔρριψεν εἰς τὸν ποταμόν. Κατέβη δὲ ἡ θυγάτηρ Φαραὼ λούσασθαι εἰς τὸν ποταμόν· καὶ ἰδοῦσα τὸ συρτάριον ἐν τῷ ποταμῷ καὶ τὸ παιδίον ἐν αὐτῷ κλαῖον, ἀνελάβετο αὐτὸ καὶ ἀνεδέξατο εἰς υἱόν· καὶ ἐδίδαξεν αὐτὸν πᾶσαν σοφίαν Αἰγυπτίων. Καὶ μετὰ ταῦτα ἐφάνη αὐτῷ ὁ Θεός· καὶ προσέταξεν ἐξαγαγεῖν τὸν λαὸν τῶν Ἑβραίων ἐξ Αἰγύπτου. Ὅθεν ἐξαγαγὼν τὸν λαὸν καὶ πολλὰ σημεῖα καὶ τέρατα ποιήσας καὶ πέτραν κρούσας καὶ ὕδωρ ἀναβλύσαι ποιήσας καὶ τεσσαράκοντα ἔτη στρατηγήσας πρὸ ἐτῶν χιλίων τετρακοσίων ὀγδοήκοντα πέντε τῆς Χριστοῦ καταβάσεως ἐτελεύτησε. Καὶ ἐτάφη ἐν ὄρει τινὶ ὑπὸ τοῦ ἀρχιστρατήγου Μιχαήλ. — **O** : 2. 6. 4. 5. 3. — **G** : 1 : Ἱερομάρτυρος Βαβύλα ἐπισκόπου Ἀντιοχείας καὶ γ' νηπίων.

— [3] τῇ Ba. — [4] *leg.* προέλαβε. — [5] τοὺς L. — [6] καὶ *om.* L.

Sept. 4. προβάντων, ὡς προειρήκει, καὶ τοῦ γαμβροῦ αὐτοῦ Ἀδριανοῦ κρατήσαντος, κατεσχέθη ὑπ' αὐτοῦ καὶ πολλαῖς τιμωρίαις καθυποβληθεῖσα, ὕστερον τοῖς δημίοις ἐξεδόθη πρὸς τὸ ἀποκαρατομηθῆναι. Οἳ καὶ ἐπίστευσαν τῷ Χριστῷ διὰ τὸ ξηρανθῆναι τὰς χεῖρας αὐτῶν καὶ πάλιν ὑγιασθῆναι[3] ὑπ' αὐτῆς. Αὐτὴ δὲ ἐν εἰρήνῃ παρέδωκε τὴν ψυχὴν τῷ Κυρίῳ, ταφεῖσα ἐν Ἐφέσῳ. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς, τῷ ὄντι πλησίον τοῦ ἁγίου Ῥωμανοῦ.

5. Ἐν ᾧ τόπῳ συντελεῖται καὶ τῶν ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀθλησάντων μαρτύρων Πετρωνίου, Χαριτίνης καὶ Εὐτυχίδος <μνήμη[1]>

6. Καὶ[1] τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ὠκεανοῦ, Κεντυρίωνος, Θεοδώρου, Ἀμμιανοῦ καὶ Ἰουλιανοῦ. Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ χωρίου λεγομένου Κανδαύλης. Συλληφθέντες δὲ καὶ τὸν Χριστὸν ὁμολογήσαντες, ἐκρεμάσθησαν καὶ ἐξέσθησαν ἄχρι τῶν ὀστῶν αὐτῶν· ἔπειτα[2] λουτρῷ ἐπὶ πολλαῖς ἡμέραις ἐκκαέντι ἐγκλεισθέντες καὶ δι' ἀγγέλου ἐκβληθέντες ἐκεῖθεν ἀβλαβεῖς (ἦν γὰρ ἐσφραγισμένον πανταχόθεν σφραγῖδι βασιλικῇ τὸ βαλανεῖον), ἔξω τῆς πόλεως ἀπήχθησαν· καὶ πάντα τὰ μέλη μαχαίραις διακοπέντες καὶ τὰ σκέλη διαθλασθέντες καὶ εἰς πῦρ ἀποπεμφθέντες, θῦμα τῷ Θεῷ εὐπρόσδεκτον προσηνέχθησαν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ε'.

Sept. 5. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ζαχαρίου, πατρὸς Ἰωάννου τοῦ προδρόμου καὶ βαπτιστοῦ. Οὗτος ἦν ἐξ Ἱερουσαλήμ, ἔγγονος μὲν
f. 18. Ἀβίαθαρ τοῦ ἐν[1] εὐαγγελίοις | ἀναγεγραμμένου ἀρχιερέως, υἱὸς δὲ Ἰωδαὲ ἱερέως, ὃν καὶ ἐκάλουν Βαραχίαν. Ὄντινα Βαραχίαν ἀπέκτεινεν Ἰωάζ ὁ βασιλεὺς Ἰούδα[2] διὰ τὸ ἐλέγχειν[3] αὐτόν τε καὶ τοὺς Ἰουδαίους ἐχόμενα τοῦ θυσιαστηρίου. Ὁ δὲ Ζαχαρίας καὶ αὐτὸς ἱερεὺς ἦν ἐν Ἱερουσαλήμ. Εἰσελθὼν δέ ποτε ἐν τῷ ναῷ τοῦ θυμιᾶσαι, εἶδεν ἄγγελον Θεοῦ ἑστῶτα ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος καὶ μηνύοντα αὐτῷ[4] τὴν ἐν γήρᾳ σύλληψιν καὶ γέννησιν τοῦ υἱοῦ αὐτοῦ Ἰωάννου τοῦ βαπτιστοῦ· ὃ δὴ καὶ γέγονεν. Ἐπεὶ δὲ[5] μετ' ὀλίγον παρηκολούθηκεν[6] ἡ γέννησις τοῦ Χριστοῦ καὶ τέτοκεν ἡ Θεοτόκος καὶ μεμένηκεν αὖθις παρθένος, ἐκηρύττετο δὲ παρ' αὐτοῦ παρρησίᾳ, ὅτι πάλιν παρθένος ἐστὶν ἡ Μαριάμ, καὶ ταύτην ἐν τῇ στάσει καὶ τῷ χορῷ τῶν παρθένων καθίστη, τοὺς Ἰουδαίους[7] διήγειρεν εἰς τὸν κατ' αὐτοῦ φθόνον. Καὶ ἐκ τούτου τρόπον ἐμελέτων, δι' οὗ αὐτὸν θανατώσουσιν. Ὡς δὲ Ἡρώδης ὁ βασιλεὺς τῷ τότε, ταραχθεὶς διὰ τὸν τεχθέντα βασιλέα, ἀπέστειλεν ἀποκτεῖναι τὰ ἐν Βηθλεὲμ πάντα νήπια· (ἦν δὲ καὶ Ἰωάννης νήπιον ὡσεὶ μηνῶν ἓξ καὶ ἀπεκρύφθη παρὰ τῆς μητρὸς αὐτοῦ Ἐλισάβετ ἐν σπηλαίῳ πέραν τοῦ Ἰορδάνου φόβῳ τοῦ μὴ ἀποκτανθῆναι), οἱ φθονεροὶ Ἰουδαῖοι δραξάμενοι τοῦ καιροῦ ἐδήλωσαν τῷ Ἡρώδῃ τὸν τοῦ Ζαχαρίου υἱὸν μὴ εὑρίσκεσθαι διὰ τὸ μετατεθῆναι ὑπ' αὐτοῦ. Ὃς καὶ θυμωθεὶς προσέταξεν ἀντὶ τοῦ παιδὸς τὸν πατέρα ἀναιρεθῆναι καὶ δὴ συλληφθέντα[8] παρὰ τῶν παρανόμων Ἰουδαίων καὶ ἀπαχθέντα ἔσωθεν τοῦ ναοῦ, ἔνθα καὶ τὴν παρθένον ἵστη μετὰ τὸ τεκεῖν, ἀποκτανθῆναι ἐκεῖσε καὶ τὸ αἷμα αὐτου χεθῆναι μέσον τοῦ θυσιαστηρίου. Ὃν λαβόντες οἱ ἱερεῖς ἔθαψαν μετὰ τῶν πατέρων αὐτοῦ ἐν Ἱερουσαλήμ. Ἔκτοτε οὖν ἐγένοντο τέρατα καὶ φαντασίαι ἐν τῷ ναῷ· καὶ οὐκ ἴσχυον οἱ ἱερεῖς ἰδεῖν ὀπτασίαν ἀγγέλων Θεοῦ, οὔτε δοῦναι χρησμὸν ἐκ τοῦ Δαβὴρ[9] οὔτε ἐρωτῆσαι ἐν τῷ ἐφούδ, οὔτε διαδήλως ἀποκριθῆναι τῷ λαῷ ὡς τὸ πρίν.

— [3] ὑγιωθῆναι Sa.
5. — [1] μνήμη Sa, *om.* S.
6. — [1] καὶ *om.* Sa. — [2] ἔπειτα Sa, ἔπει S.
1. — [1] ἐν τοῖς Sa. — [2] ὁ βασιλεὺς Ἰωάζ τῶν Ἰουδαίων τότε βασιλεύων Sa. — [3] διὰ τὸ ὑπ' αὐτοῦ ἐλέγχεσθαι Sa. — [4] αὐτοῦ S. — [5] δὴ Sa. — [6] παρηκολούθησεν Sa. — [7] τοῖς Ἰουδαίοις Sa. — [8] συληφθέντα S. — [9] δαβίρ, δαβεὶρ III Reg. 6, 9.

Sept. 4. Ὃς εἰσελθόντα Νουμεριανὸν τὸν βασιλέα ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ ὡς ἀνδράποδον εὐτελὲς ἀπήλασε τῆς ἐκκλησίας· « Ποῦ πορεύει, φήσας, μεμολυσμένας ἔχων τὰς χεῖρας[7] αἵματι; » τὸν γὰρ υἱὸν τοῦ βασιλέως Περσῶν, ὃν εἰς ὅμηρα εἶχε, κατέσφαξεν. Διὸ σιδήροις δεσμεῖται καὶ πομπεύεται καὶ τὴν κεφαλὴν σὺν τοῖς τρισὶ παισὶν[8] ἀφαιρεῖται. Τοῦτον καὶ ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησεν. — 2 (= Ba). — 3 (= Ba). — 4. — **C** : deest. — **Cb** : deest. — **M** : 1. 2. — 4 : Θεότιμος καὶ Θεόδουλος οἱ ἀπὸ δημίων πιστεύσαντες π. τ. — 6 : ὁ ἅγιος μάρτυς Κεντηρίων π. τ. — 3. 4. — Τρισχιλίων ἑξακοσίων εἴκοσι ὀκτὼ μαρτύρων (Sept. 2^3). — 5. — Θαθουὴλ καὶ Βεβαίας (Sept. 5^4). — **Mv** : 1. 2 : Θεότιμος καὶ Θεόδουλος. — 3. 4. 6. 5 (Πετρωνίου, Χαριτίνης, Ζαρβήλου, Θαθουὴλ καὶ Βεβαίας). — Τρισχιλίων ἑξακοσίων εἴκοσι ὀκτὼ μαρτύρων. — **Mr** : 1. 3.

Sept. 5. SYNAXARIA SELECTA. **Sa** : 1. mutil. — **H** : 6. 3 (Ἀβδιοῦ). — 4 (... Βεβλίας). — 1. — **P** : 1 : τοῦ ἁγίου προφήτου Ζαχαρίου πατρὸς τοῦ προδρόμου Ἰωάννου ἐν τῷ Καταβόλῳ. — 3 (Ἀβδιοῦ). — 4 : Βουθαὴλ καὶ Βαιεβᾶς τῆς ἀδελφῆς αὐτοῦ καὶ Ζαρβιλίου. — **F** : 1. 5. 4. 3. — **Fa** : 1. 5 (Ἱεραΐδος). 4 (Οὐθαήλ). — 3. — **Fb** : 1. 5. 4. 3. — **B** : 1. 3. 4. — **Ba** : 1. 3. 4. 5 : Ἡραΐδος καὶ τῶν σὺν αὐτῇ. Αὕτη πρεσβύτου τινὸς ἦν θυγάτηρ καὶ τὸν μονήρη βίον μετερχομένη. Θεασαμένη δὲ σὺν ἄλλοις καὶ γυναῖκας διὰ τὸ τοῦ Χριστοῦ ὄνομα δεδεμένας καὶ μαθοῦσα ἐν τῷ ἐρωτᾶν αὐτὰς τὴν αἰτίαν δι' ἣν δέδενται· « Κἀγὼ χριστιανή, φησίν, εἰμὶ καὶ τὰ εἴδωλα διαπτύω. » Συλλαμβάνεται οὖν καὶ αὐτίκα

— [7] χῆρας G. — [8] πεσὴν G.

2. Τῇ αὐτῇ ἡμέρᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἱερομάρτυρος Κυρίλλου, ἐπισκόπου Γορτύνης τῆς
f. 18'. τῶν Κρητῶν νήσου. Οὗτος ἐ|ξ ἀρχῆς ὁσίως βιώσας καὶ πολλὰ ἀσκήσας, ἑξηκονταετὴς γενόμενος, ἐπίσκοπος καθίσταται ἐν Γορτύνῃ· ποιμαίνει[1] δὲ τὴν κατ' αὐτὸν ἐκκλησίαν ἔτη εἴκοσι πέντε. Κατὰ τοὺς χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ Ἀγρηϊανῷ[2] τῷ ἡγεμόνι παρέστη καὶ τὸν Χριστὸν παρρησίᾳ κηρύξας καὶ πολλὰ διδάξας καὶ τὴν πλάνην ἐλέγξας, ἐν κημῷ τὸ στόμα δεθεὶς καὶ ἐν ἀμάξῃ τεθεὶς (οὐ γὰρ ἠδύνατο βαδίζειν, πέντε καὶ ἐνενήκοντα ἐτῶν γεγονώς), καὶ πρὸς σφαγὴν ἀπαγόμενος, ἐπεὶ τὸν τόπον κατέλαβε τὸν λεγόμενον Ῥάξον, αὐτομάτως τῶν βοῶν στάντων διὰ τὸ ἐνεχθῆναι φωνὴν ἄνωθεν στῆναι κελεύουσαν, τὸν αὐχένα ὑποθεὶς τῷ ξίφει, τὴν κεφαλὴν ἀπετμήθη.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις Ἄβδα ἐπισκόπου Ἐργὸλ τῆς Περσίδος καὶ Βενιαμὶν διακόνου. Ὃς ἤθλησεν ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ μικροῦ εἰς Περσίαν, Ἰσδιγέρδου βασιλεύοντος ἐν αὐτῇ. Ἐπειδὴ γὰρ πολλὰ διδάσκων οὐκ ἔπειθε τοὺς Πέρσας τῆς προσκυνήσεως τῶν εἰδώλων ἀπέχεσθαι, ζήλῳ διαπύρῳ χρησάμενος καὶ τὸν τοῦ πυρὸς ναὸν κατακαύσας, ἐν ᾧ οἱ βασιλεῖς τῶν Περσῶν ἔθυον, αὐτὸς μὲν συσχεθεὶς καὶ πολλαῖς πρότερον τιμωρίαις καθυποβληθείς, ὕστερον δὲ διὰ τεσσάρων στρατιωτῶν ῥάβδοις ῥοΐναις ἠκανθωμέναις πανταχοῦ τοῦ σώματος τυφθεὶς καὶ εἰς τὸν ἴδιον οἶκον ῥιφεὶς ὡς νεκρός, κατὰ βραχὺ τὴν ἁγίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ παρέθετο. Ἔκτοτε δὲ ἤρξατο ὁ μέγας διωγμὸς κατὰ χριστιανῶν παρὰ Πέρσαις, παρατεθεὶς εἰς τριάκοντα χρόνους· ἐν οἷς πολλῶν μὲν χεῖρες ἀπετμήθησαν, πολλῶν δὲ ὦτα, ἄλλων δὲ κεφαλαὶ ἀπεδάρησαν· οἱ δὲ καλάμους ὀξεῖς ἐν τοῖς τοῦ σώματος εἰσδύντας ἐδέξαντο· εἶτα σχοινίοις εἰληθέντες καθ' ὅλου τοῦ σώματος ἀσφαλῶς, πικροτάτας ὑπέστησαν ἀλγηδόνας, τῶν καλάμων βίᾳ ἐξελκομένων· πολλοὶ δὲ δεσμευθέντες χεῖρας καὶ πόδας ἐν βαθυτάτοις ἐρρίφησαν λάκκοις· ἐν οἷς μυῶν ἀγέλαι καὶ γαλῶν ἐναπεκλείσθησαν, τῆς εἰσόδου τῶν λάκκων ἀσφαλῶς διησφαλισμένης·[1] καὶ συνέβαινε τοὺς μῦς ἀπορουμένους τροφῆς τῶν σαρκῶν τῶν ἀθλητῶν | ἀπογεύεσθαι καὶ δαψιλῶς ἐμφορεῖσθαι. Καὶ ἕτεροι εἰς τὰς ἕδρας καὶ τὰ παιδογόνα μόρια εἰσωθισμοὺς[2] καλάμων καὶ ῥάβδων ὑποστάντες, οὕτως τὴν ζωὴν ἀπέλιπον. Ὧν εἷς ἐστι καὶ ὁ τρισμακάριος διάκονος Βενιαμίν, κατὰ τῶν ὀνύχων εἴκοσι καλάμους ὀξεῖς ἐμπαγεὶς καὶ κατὰ τῶν φυσικῶν καὶ ἀναγκαίων μορίων τοῦ σώματος.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Θουθαὴλ καὶ Βεβαίας τῆς αὐτοῦ ἀδελφῆς. Οὗτος ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως ἐν Ἐδέσῃ[1] ἱερεὺς τῶν εἰδώλων· παρὰ δὲ Βαρσιμαῖου ἐπισκόπου Ἐδέσης κατηχηθεὶς καὶ τὰ εἴδωλα μυσαχθείς, ὑπὸ αὐτοῦ ἐβαπτίσθη σὺν Βεβαίᾳ τῇ αὐτοῦ ἀδελφῇ. Ἐπειδὴ καὶ τοῖς πρώην ὁμόφροσιν παρήνει τῆς εἰδωλολατρείας ἀπέχεσθαι καὶ πολλοὺς παρέπειθε, κρατηθεὶς παρὰ τοῦ τότε τοπάρχου Ἐδέσης, πρῶτον μὲν ῥαβδίζεται, εἶτα σπαθίζεται καὶ κατὰ τῆς γαστρὸς τύπτεται καὶ ὄψιν ξέεται καὶ τῆς μιᾶς χειρὸς ἀναρτᾶται· καὶ αὖθις κρεμᾶται καὶ ξέεται καὶ ἐν διαφόροις τοῦ σώματος μέρεσι πυρὶ κατακαίεται· καὶ ἐν τεκτονικῷ κοχλίᾳ ἀποθλιβεὶς καὶ τὴν κεφαλὴν πρισθεὶς καὶ ταύτην ἐν τῷ πρίζεσθαι ἀποκοπείς, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκεν. Ἡ δὲ ἀδελφὴ αὐτοῦ Βεβαία μετὰ κοντοῦ πληγὴν κατὰ τοῦ τραχήλου δεξαμένη, τὸν τοῦ μαρτυρίου δρόμον διήνυσε.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἡραΐδος καὶ τῶν σὺν αὐτῇ. Αὐτὴ θυγάτηρ ἦν τινος ἱερέως, ἐτῶν δὲ οὖσα δώδεκα τὸν μονήρη βίον ἠσπάσατο. Κατά τινα δὲ πάροδον ἰδοῦσα σὺν ἀνδράσι καὶ γυναῖκας συλλαμβανομένας καὶ δεσμουμένας καὶ πλησιάσασα αὐταῖς καὶ τὴν αἰτίαν ἐπερωτήσασα, δι' ἣν δέδενται, καὶ μαθοῦσα διὰ τὸ εἶναι αὐτὰς χριστιανάς, παραυτίκα κατενώπιον τῶν συλλαμβανόντων ἐξεβόησε· « Κἀγὼ χριστιανή εἰμι[1] » καὶ τὰ εἴδωλα διαπτύω. » Διὸ καὶ συλληφθεῖσα

2. — [1] ποιμένη S. — [2] Ἀγρειανὸς *in cod. Vatic. 1669*, Act. SS., *Iul. II, 685*.
3. — [1] διασφαλισμένης S. — [2] εἰσωθησμοὺς S.
4. — [1] Ἐδέση S, *et ita plerumque in mss. codd. Cf.* Dobschütz, Christusbilder, *38***.*
5. — [1] χριστιανὶ εἰ μή S.

εἰς ἐξέτασιν σὺν ταῖς λοιπαῖς γυναιξὶν Κουλκιανῷ καθίσταται. Ὅθεν μετὰ πολλὰς τὰς ἐρωτήσεις τὴν διὰ ξίφους ἀπόφασιν δέχονται καὶ τιμηθεῖσαι τὰς κεφαλὰς πρὸς τὰ βραβεῖα τῆς ἄνω κλήσεως μετετάξαντο. — **Bb** : 1. 3. 4. 5. — **T** : 1. — **L** : 1. 3. — **O** : 1. 6. 3. 4 : Θουθαὴλ καὶ Ζαρβίλου καὶ Βεβλίας τῆς ἀδελφῆς αὐτοῦ. — **G** : 1 : Ζαχαρίου πατρὸς Ἰωάννου τοῦ βαπτιστοῦ. Οὗτος παρρησίᾳ κηρύττων τὴν Θεοτόκον μητέρα νόμοῦ καὶ παρθένον καὶ τῆς[1] ἀφωρισμένης παρθένοις ἐν τῷ ἱερῷ στάσεως μὴ ἐξιέναι[2] κελεύων ἀλλὰ καὶ τοὺς ἐπιχειροῦντάς τι περὶ αὐτῆς λέγειν ἐπεστόμιζεν. Ὅθεν ὑπὸ Ἰουδαίων ἀναιρεῖται μεταξὺ τοῦ λαοῦ καὶ τοῦ θυσιαστηρίου. — 4 : Θουθαὴλ καὶ Βεβαίας. Οὗτος ὑπῆρχεν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως ἱερεὺς τῶν εἰδώλων. Παρὰ δὲ Βαρσιμαίου ἐπισκόπου Ἐδέσης[3] κατηχηθεὶς σὺν τῇ ἀδελφῇ Βεβαίᾳ τὸ ἅγιον δέχεται βάπτισμα· διὰ τοῦτο εἰς ἐξέτασιν τῷ Λυσίᾳ ὁ Θουθαὴλ καθίσταται· καὶ πρῶτον μὲν ῥαβδίζεται, εἶτα σπαθίζεται καὶ τὴν ὄψιν ξέεται καὶ κατὰ τῆς γαστρὸς τύπτεται καὶ τῆς μιᾶς χειρὸς ἐξαρτᾶται καὶ αὖθις κρεμνᾶται καὶ ξέεται· καὶ ἐν διαφόροις τοῦ σώματος μέρεσι πυρὶ κατακαίεται καὶ ἐν τεκτονικῷ κοχλίᾳ ἀποβληθεὶς ἐν τῷ τὴν κεφαλὴν πρίζεσθαι τὴν ψυχὴν εἰς χεῖρας[4] Θεοῦ παρατίθησι, τὴν κεφαλὴν ἐκκοπείς. Συναποτέμνεται δὲ αὐτῷ καὶ Βεβαία ἡ ἀδελφὴ αὐτοῦ, τοῦτο τοῦ ἡγεμόνος προστάξαντος. — 4. — **C** : deest. — **Cb** : deest. — **M** : 1. 4 : Θαθουὴλ καὶ Βεβαία ξ. τ. — 3 : Ἀβδαῖος ῥάβδοις ἀκανθώδεσι τυφθεὶς τ. — Ῥαῖς ξ. τ. — Σάρβηλος λιθοβοληθεὶς τ. — Οὐρβανοῦ, Θεοδώρου κτλ. (sept. 6^4). — 6. 3

[1] τοῖς G. — [2] ἐξηαΐνε G. — [3] Αἰδέσις G. — [4] χήρας G.

Sept. 5. εἰς ἐξέτασιν κατέστη Κουλκιανῷ ἐπάρχῳ Ἀλεξανδρείας· ὅθεν μετὰ πολλὰς τὰς ἐρωτήσεις τὴν διὰ ξίφους ἀπόφασιν δέχεται καὶ τελειοῦται σὺν ταῖς λοιπαῖς γυναιξί.

6. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἀποστόλου Πέτρου ἐν τῷ Ἀθύρᾳ.

Ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

f. 19v. | ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ϛ'.

Sept. 6. **1.** Ἑορτὴν ἐπιτελοῦμεν τοῦ ἀρχιστρατήγου Μιχαήλ, ἀνάμνησιν ποιούμενοι τοῦ θαύματος τοῦ δι' αὐτοῦ γενομένου ἐν Κολασσαῖς τῆς Φρυγίας, ταῖς μετὰ τοῦτο ἐπικληθείσαις Χώναις. Ἐπειδὴ γὰρ τότε ἀρχὴν εἶχε τὸ κήρυγμα καὶ ὁ ἑλληνισμὸς ἀκμὴν ἐπεπλάτυστο, ἐπεδήμησεν Ἰωάννης ὁ θεολόγος καὶ εὐαγγελιστὴς καὶ εἰς Κολασσὰς εἰς τόπον οὕτω καλούμενον Χαιρέτοπα καὶ διδασκαλίαν ἐποιήσατο· καὶ ἐπιφάνειαν ὅσον οὔπω γενέσθαι τῷ τόπῳ τοῦ ἀρχιστρατήγου Μιχαὴλ προεῖπε καὶ ἀνάδοσιν ὕδατος ἰαματοβρύτου· οὗ γενομένου καὶ διὰ τῆς τοῦ ἁγίου ὕδατος μεταλήψεώς τε καὶ χρίσεως πολλῶν μὲν ἀλάλων λαλούντων, πολλῶν δὲ δαιμονώντων καὶ ἀσθενούντων ἰωμένων καὶ ναὸν ἐκεῖσε περικαλλῆ τῶν πιστευσάντων δειμαμένων, ἐν ᾧ καί τις ὀνόματι Ἄρχιππος ἠσκεῖτο ξένην τινὰ ἄσκησιν, προσμείνας πίστει καὶ πόθῳ τοῦ ἀρχιστρατήγου ἐν τῷ ναῷ ἔτη ἑβδομήκοντα κἀκεῖσε ὁσίως τελευτήσας, οἱ ἑλληνίζοντες φθόνῳ φερόμενοι, πρῶτον μὲν διὰ τῆς τοῦ Χρύσου τοῦ ποταμοῦ παρεκνομῆς ἐπειράθησαν συμμῖξαι τὸ ἅγιον ἐκεῖνο ὕδωρ καὶ ἀμβλῦναι ἐκ τούτου τὴν ἐνέργειαν τῶν ἰάσεων, ὡς ᾤοντο, κἂν ἀπέτυχον τοῦ σκοποῦ, τοῦ ποταμοῦ ἀναχαιτισθέντος καὶ ἄλλῃ τραπέντος θείᾳ νεύσει. Ἔπειτα δὲ τάφρον βαθεῖαν καὶ μεγάλην κατορύξαντες καὶ περίφραγμά τι μηχανικῶς ἐπιθέντες, Κοῦφον καὶ Λυκόκαπρον τοὺς ἐκεῖσε ποταμοὺς δι' αὐλάκων τινῶν εἰς τὴν τάφρον καταρρεῦσαι πεποιήκεσαν. Καὶ μετὰ παραδρομὴν ἡμερῶν δέκα πλησθείσης τῆς τάφρου, μέσης νυκτὸς ἐβουλήθησαν ἆραι τὸ περίφραγμα καὶ ἀφ' ὑψηλοῦ τοῦ τόπου ἐπαφεῖναι τὰ συναχθέντα ὕδατα καὶ οὕτως τῷ πλήθει καὶ τῷ ῥοίζῳ αἰφνηδὸν κατελθεῖν καὶ συγκατακλύσαι τόν τε Ἄρχιππον καὶ τὸν ναὸν καὶ τὸ ὕδωρ ἀφανῖσαι. Τούτου δὲ ἐπιβούλως γιγνομένου καὶ τοῦ Ἀρχίππου ἐν αἰσθήσει ὄντος καὶ δεήσεις ποιουμένου, μετὰ δακρύων πρὸς τὸν ἀρχιστράτηγον, ἐκεῖνος μὴ μελλήσας[1] φθάνει ὡς στύλος πυρὸς φαινόμενος καὶ τῷ Ἀρχίππῳ μὴ φοβεῖσθαι παρεγγυησάμενος, | f. 20 στὰς ἐπάνω πέτρας μεγάλης, εἰς ἣν ἤδη φθάσαι τὰ ὕδατα ἠπείγετο, καὶ ταύτην τῇ ἐν τῇ χειρὶ ῥάβδῳ πλήξας καὶ διατεμών, ἐν ταύτῃ χωνεύεσθαι τὰ ὕδατα τῶν δύο ποταμῶν προσέταξεν. Οὗ καὶ θαυμαστῶς γενομένου, Χώνας ἔκτοτε τὸν τόπον κεκλήκασι. Διὰ ταῦτα τοίνυν τὴν ἀνάμνησιν τοῦ ἀρχιστρατήγου ποιούμενοι συνατόμεθα ἐν τῷ σεπτῷ αὐτοῦ τεμένει, τῷ ἐν τῷ Ἀνάπλῳ.

2. Συνέδραμε δὲ τῇ ἡμέρᾳ ταύτῃ καὶ τὰ ἐγκαίνια τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ οἴκῳ τῆς Ἄννης ἐν τῷ Δευτέρῳ[1].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ῥωμύλου, Εὐδοξίου, Ζήνωνος καὶ Μακαρίου. Τούτων τῶν ἁγίων ὁ μὲν Ῥωμύλος[1] πραιπόσιτος ἦν τὴν ἀξίαν· ὑπῆρχεν δὲ ἐπὶ Τραϊανοῦ βασιλέως, πρώην μὲν ὁμόφρων αὐτῷ καὶ συμβουλευσάμενος ἀποστεῖλαι πρὸς τοὺς ἐν Γαλλίᾳ στρατιώτας καὶ καταναγκάσαι αὐτοὺς προσκυνῆσαι τοῖς εἰδώλοις. Οὗς καὶ ἀντειπόντας τῷ προστάγματι αὐτοῦ μετὰ ζέοντος τοῦ θυμοῦ ἐξορίᾳ

1. — [1] μελήσας S.
2. — [1] εἰς τὸ Δεύτερον S.
3. — [1] Ῥωμῦλος S *semper*.

Sept. 5. (iterum Ἀβδιοῦ). — **Mv** : 1. 3 (Ἀβδαῖος) — Ῥαῖς — Σαρβίλος — Οὐρβανοῦ κτλ. — 6. 3 (Ἀβδιοῦ). — **Mr** : 1.

Sept. 6. SYNAXARIA SELECTA. **Sa** : deest. — **H** : 3. 5. 1. 2. — **P** : 3. 5. Φαύστου πρεσβυτέρου, Βίβου διακόνου[1] καὶ μονάζοντος, Διονυσίου ... Κυριακοῦ δημότου, Ἀνδρεπελαγίας[2] καὶ Θέκλης. — 1. — **F** : 1. 3 : Κυρίλλου ἐπισκόπου Γορτύνης (Sept. 5²). 4. 5. — **Fa** : 1. 3. Κυρίλλου. 4. 5. — **Fb** : 1. 3. Κυρίλλου. — 4. 5. — **B** : 1. 3. (Εὐδοξίου, Ῥωμύλου tantum). — 5. — **Ba** : 1. 3 (— Sa. 5. — **Bb** : 1. 3. 5. 4. — **T** : 1. — **L** : 1. 3. — **O** : 1. 3 : Εὐδοξίου, Ῥωμύλου κτλ. Ὁ μὲν Ῥωμύλος ἐμαρτυρήθη ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως καὶ ἀπετμήθη τὴν κεφαλήν· οἱ δὲ λοιποὶ ἐπὶ Διοκλητιανοῦ κινήσαντος δόγμα κατὰ τῶν χριστιανῶν. Συλληφθεὶς οὖν ὁ ἅγιος Εὐδόξιος κόμης ὢν παρὰ τοῦ ἡγεμόνος Μελιτηνῆς μετὰ πλήθους ὡσεὶ χιλίων καὶ τριάκοντα ἐτελειώθη διὰ ξίφους. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Προκοπίου ἔνδον τοῦ ἁγίου μάρτυρος Μηνᾶ. — 5. 2. — **G** : 1. 3. — **C** : deest. — **Cb** : 4 : Οὐρβανοῦ, Θεοδώρου, Βενεδήμου καὶ τῶν σὺν αὐτοῖς κατακαέντων ὑπὸ τοῦ Οὐάλεντος. Τοῦ δυσσεβοῦς Οὐάλεντος βασιλεύοντος καὶ τῆς ἀρειανικῆς δόξης ἐκθύμως προϊσταμένου, οἱ τὸ ὁμοούσιον φρονοῦντες ἀπηνῶς ἐδιώκοντο. Ὅθεν οἱ ἀρειανίζοντες[3] ἐν δεσμωτηρίῳ κατακλείονται. Ἅπερ μὴ φέροντες, ἐπὶ τῷ δεηθῆναι τοῦ βασιλέως ἤρχοντο, ἐν Νικομηδείᾳ[4] τότε διατρίβοντος[5], εἴ πως δύναιντο μερικῶς κἂν γοῦν ἀνεθῆναι τῆς βίας· ἀλλὰ τἀναντία ἀπείληφαν. Ὡς γὰρ ἐπλεχθέντες ἄνδρες εὐλαβεῖς τοῦ ἐκκλησιαστικοῦ τυγχάνοντες τάγματος, τὸν ἀριθμὸν ὄντες ὀγδοήκοντα, ἂν ἡγοῦντο Οὐρβανός, Θεόδωρος καὶ Βενέδιμος, εἰς τὴν Νικομήδειαν[6] παρεγένοντο, καὶ ἱκεσίας ἤρεγον τῷ βασιλεῖ

[1] Βιβουδιανοῦ P. — [2] ἀνδρα, Πελαγίας P. — [3] *ita cod., legendum videtur* ὅθεν ὑπὸ τῶν ἀρειανιζόντων, *nisi quaedam exciderint.* — [4] Νικομιδία Cb. — [5] *corr., prius* διατρίβοντες Cb. — [6] Νικομίδιαν Cb.

παρέδωκεν εἰς χώραν τῆς Ἀρμενίας ἐν πόλει Μελιτηνῇ· κἀκεῖσε πικρῷ θανάτῳ ὑπέβαλεν, ὄντας τὸν ἀριθμὸν χιλιάδας ἕνδεκα. Ὧν τῇ ἀπωλείᾳ μεταμεληθεὶς ὁ Ῥωμύλος καὶ ἑαυτὸν ἐπιμεμψάμενος, θείῳ ζήλῳ κινηθεὶς ἐπίστευσε τῷ Χριστῷ καὶ τὴν εὐσέβειαν παρρησιασάμενος καὶ τὴν ἀπήνειαν τοῦ βασιλέως ἐλέγξας, μετὰ πολλὰς τὰς βασάνους τὴν κεφαλὴν ἀπετμήθη. Μετὰ δὲ Τραϊανὸν καὶ λοιποὺς βασιλεῖς, οὐκ ὀλίγων ἐτῶν ἀπελθόντων, κρατήσαντος τῆς βασιλείας Διοκλητιανοῦ καὶ δόγμα ἐκθέντος ἀναιρεῖσθαι τοὺς χριστιανούς, συνελήφθη[2] παρὰ τοῦ τῆς Μελιτηνῆς ἡγεμόνος καὶ ὁ ἐνδοξότατος Εὐδόξιος, κόμης ὢν τὴν ἀξίαν καὶ τὸ σέβας χριστιανός· ὑφ' οὗ πλείσταις καὶ διαφόροις ἐκδοθεὶς ταῖς τιμωρίαις, ὕστερον ἀπεκεφαλίσθη μετὰ Ζήνωνος τοῦ φιλτάτου καὶ Μακαρίου τοῦ μακαριωτάτου ἅμα σὺν τοῖς ὑπ' αὐτὸν στρατιώταις, τὸν ἀριθμὸν οὖσι χιλίοις ἑκατὸν τριάκοντα τέσσαρσιν. Ἡ δὲ αὐτῶν σύναξις τελεῖται ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Προκοπίου, ἔνδον τοῦ ἁγίου μάρτυρος Μηνᾶ.

f. 20v. **4.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων | μαρτύρων Οὐρβανοῦ[1], Θεοδώρου, Μεδίμνου[2] καὶ τῶν σὺν αὐτοῖς ὀγδοήκοντα ἱερέων καὶ λευϊτῶν. Οὗτοι ἐπὶ τῆς βασιλείας τοῦ κακόφρονος Οὐάλεντος[3] τῆς τῶν Ἀρειανῶν αἱρέσεως προϊσταμένου, πάμπολλα δεινὰ πάσχοντες ὑπὸ τῶν αἱρετικῶν καὶ μετὰ ταῦτα τῆς ἐκκλησίας ἐξωσθέντες[4], παραγενόμενοι ἐν Νικομηδείᾳ ὡς τοῦ βασιλέως δεηθησόμενοι, χαλεπώτερα ὑπομένουσι. Προστάξει γὰρ τοῦ ἐπάρχου μετεμβληθέντες ἐν ἑτέρῳ πλοίῳ παλαιῷ καὶ εἰς τὸ μέσον τοῦ Ἀστακηνοῦ κόλπου ἀπαχθέντες, τῶν ναυτῶν εἰς ἕτερον ἀκάτιον εἰσπηδησάντων καὶ ἀποφυγόντων, πυρὶ βάλλονται καὶ τοῦ πλοίου καταναλωθέντος, αὐτοὶ δι' ὕδατος καὶ πυρὸς ὁλοκαυτοῦνται.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Φαύστου πρεσβυτέρου, Βίβου[1] διακόνου καὶ μονάζοντος, Διονυσίου ἀναγνώστου, Κυριακοῦ ἐπακολούθου τοῦ μακαρίου Φαύστου, Ἀνδρονίκου στρατιώτου, Θεοκτίστου ναυκλήρου, Μακαρίου πολιτευομένου, Ἀνδρέου κουρικτοριανοῦ, Σαραπάμβωνος βουλευτοῦ, Κυριακοῦ δημότου, Ἀνδροπελαγίας καὶ Θεοκλῆς[2] παρθένων ἀδελφῶν καὶ Καλοδότης γυναικὸς Κύρου ἐγκυμονούσης. Οὗτοι ἐμαρτύρησαν ἐπὶ τῆς βασιλείας Δεκίου ἐν Ἀλεξανδρείᾳ πόλει τῆς Αἰγύπτου συσχεθέντες παρὰ Οὐαλεριανοῦ κουρίκτορος καὶ ἡγεμόνος καὶ διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν πολλὰ δεινὰ ὑποστάντες τὰς κεφαλὰς ἀπετμήθησαν, ὄντες τὸν ἀριθμὸν δεκατρεῖς.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ζ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Σώζοντος. Οὗτος ὥρμητο ἐκ χώρας Λυκαόνων, πρότερον μὲν Ταράσιος καλούμενος, μετονομασθεὶς δὲ Σώζων διὰ τοῦ ἁγίου βαπτίσματος. Καὶ ποιμὴν προβάτων γενόμενος, ἀπελθών ποτε εἰς δρῦν μεγάλην, ἔνθα ἦν ὕδωρ, ἐνέβαλεν εἰς ὕδωρ[1] ἐκεῖνο μετὰ προσευ-

— [2] συνελλήφθη S.
4. — [1] Οὐρβασός, Sozomenos, H. E. *VI. 14* (Hussey, *571*). Οὐρβανός, Socrates, H. E. *VI. 16* (Hussey, *506*). — [2] Μενεδημος, Socrates, Sozomenos. — [3] τοῦ *add.* Sa. — [4] ἐξωθέντες S.
5. — [1] Ἀβίβου F, Fa. — [2] Θέκλης O.

τὴν βίαν ἀναδιδάσκοντες καὶ ὅσα ὑπέμενον. Ὀργισθεὶς οὖν Οὐάλης τοσοῦτον ἐπέκρυψεν ὅσον λαθραίως Μοδέστῳ τῷ ἐπάρχῳ κελεῦσαι συλλαβεῖν καὶ θανάτῳ ζημιῶσαι τοὺς ἄνδρας. Ὁ δὲ τρόπος τοῦ θανάτου ξένος ἦν. Φοβηθεὶς γὰρ ὁ ὕπαρχος[7] μὴ στάσιν ὑπομείνῃ ὑπὸ τοῦ πλήθους ἐν τῷ φανερῷ φωνεύειν[8] αὐτούς, πλάττεται εἰς ἐξορίαν πέμπειν αὐτούς. Τῶν δὲ εὐγενῶς καταδεξαμένων, ὁ ὕπαρχος κελεύει πλοίῳ[9] ἐμβληθέντας δεδεμένους αὐτοὺς ὡς ἐπὶ τὴν ἐξορίαν δῆθεν ἀπάγεσθαι· ἐντειλάμενος τοῖς ναύταις, ἐπειδὰν κατὰ μέσου γίνωνται[10] τοῦ πελάγους, ὑφάψαι[11] τὸ πλοῖον ἵνα τῷ τρόπῳ τούτῳ[12] ἀποθανόντες μὴ ἔξωσι τοὺς κηδεύοντας. Ἀνὰ μέσον δὲ τοῦ Ἀστακίου[13] κόλπου γενόμενοι, ποιοῦσι τὸ προσταχθέν. Αὐτοὶ δὲ εἰς ἕτερον παρεπόμενον ἀκάτιον ἐμβάντες ἀπεχώρησαν τὸ πλοῖον ὑφάψαντες. Συμβὰν δὲ ἄνεμον ἀπηλιώτην πνεῖν, ἐξωθεῖται ἐπὶ πολὺ καιομένη ἡ ναῦς· ὥστε[14] τάχιον μὲν τὴν ὁρμὴν ποιεῖσθαι· διορκέσαι δὲ ἄχρι τοῦ λιμένος Δακιδίζης[15] κἀκεῖ τελέως σὺν τοῖς ἀνδράσιν ἀναλωθῆναι καὶ οὕτω παρέδωκαν τὰ πνεύματα αὐτῶν τῷ Κυρίῳ. Τοῦτο οὐκ ἀτιμώρητον ἔλεγον γεγενῆσθαι πολλοί· λιμὸν γὰρ σφοδρὸν ἐπισυνέβη γενέσθαι. Τοιαύτην ὁ ἐχθρὸς τῆς ἀληθείας ἐπεδείξατο τὴν βάσανον. — Κυρίλλου (Sept. 5²). — **M** : 1. 3. : οἱ ἅγιοι χίλιοι ἑκατὸν τέσσαρες στρατιῶται ξ. τ. — 5 : Καλοδότη ξ. τ. — Μέδιμνος πλοίῳ ἐμβληθεὶς τ. — Φαῦστος ξ. τ. — Μακάριος καὶ Ἀνδρέας ξ. τ. — ὁ ἅγιος μοναχὸς Ἄβιβος ξ. τ. — Κυριακός, Διονύσιος καὶ Ἀνδρόνικος ξ. τ. — Ἀνδροπελαγία καὶ Θέκλα ξ. τ. — Θεόκτιστος ὁ ναύκληρος ξ. τ. — Σαραπάμβων ὁ βουλευτὴς ξ. τ. — Κυριακὸς ὁ δημότης ξ. τ. — 2. — **Mv** : 1. 3. — Ἑκατὸν τέσσαρες καὶ χίλιοι καὶ ἡ ἁγία Καλοδότη ξ. τ. — Μέδιμνος. — Φαῦστος. — Μακόριος, Ἀνδρέας. — Βίβος. — Κυριακός, Δι[ο]νύσιος, Ἀνδρόνικος καὶ αἱ ἅγιαι Ἀνδροπελαγία καὶ Θέκλα. — Θεόκτιστος. — Καὶ ἕτερος Κυριακὸς ὁ δημότης. — 2 (εἰς τὸ Δεύτερον ἐν τῷ οἴκῳ τῆς ἁγίας Εἰρήνης). — **Mr** : 1.

SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ μνήμη αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πέραν ἔνδον τῆς Ἐξαρτήσεως καὶ πλησίον τῆς ἁγίας Θεοδοσίας. 2. 3. 4. 5. — **H** : 1. 2 (Εὐψυχίου καὶ Σευήρου). — **P** : deest. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **Fb** : 1. 2. 3. 4. 5. — **B** : 1. 2. —

— [7] ὕπαρχος Cb, *ita quoque* Socrates. — [8] φωνεύων Socr. — [9] πλοίου Cb. — [10] γένωνται Socr. — [11] δὲ *add.* Cb. — [12] τὸ τρόπω τοῦτο Cb. — [13] Ἀστακίου Cb, Sozomenos; Ἀστακηνοῦ S, Socr. — [14] ἡ ἐστιν Cb. — [15] Δακίδιζος *alias* Δακιβύζος Socr., Δακιβίζης *alias* Δακιδίζης, Δακίδης Sozom.

Sept. 7. χῆς τρία βέλη καὶ τὸ τόξον αὐτοῦ. Ἔκτοτε οὖν ἐδέξατο ὁ τόπος ἰαμάτων θεῖα χαρίσματα. Ἐπεὶ δὲ ἐδίδασκεν[2] καὶ ἐβάπτιζε πολλοὺς τῶν Ἑλλήνων καὶ τὰ εἴδωλα ἐμυσάττετο τοσοῦτον, ὥστε καί ποτε εἰσελθεῖν ἐν ναῷ, ἐν ᾧ ἵστατο ἄγαλμα τῆς[3] Ἀρτέ-
f. 21. μιδος ἐκ χρυσοῦ εὐρίζου | κατεσκευασμένον, καὶ τούτου τὴν χεῖρα ἀποτεμεῖν καὶ εἰς μικρὰ διακλάσαι καὶ τοῖς πένησι παρασχεῖν, πολλοὺς τιμωρουμένους ὁρῶν ἐπὶ ὑπονοίᾳ τῆς κλοπῆς τῆς χειρὸς τοῦ ἀγάλματος, ὁ ἅγιος ἑαυτὸν κατεμήνυσε· καὶ παραστὰς Μαξιμιανῷ τῷ ἡγεμόνι, αὐτίκα τύπτεται σφοδρῶς[4] καὶ ὑποδήμασι σιδηροῖς ὑποδεθεὶς ἀναγκάζεται τρέχειν· καὶ αὖθις ἐπὶ τοσοῦτον βάκλοις τύπτεται, ὥστε τὰ ὀστᾶ τοῦ σώματος αὐτοῦ καταθραυσθῆναι καὶ τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ παραθεῖναι[5].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Εὐψυχίου. Ὃς γέννημα καὶ θρέμμα ὑπῆρχεν τῆς Καισαρέων πόλεως, υἱὸς Διονυσίου συγκλητικοῦ. Μετὰ δὲ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ, ἐν τοῖς χρόνοις Ἀδριανοῦ τοῦ Ῥωμαίων βασιλέως, βαπτισάμενος καὶ διαβληθεὶς παρά τινων[1] ὅτι χριστιανός ἐστι, παραδοθεὶς Σαπρικίῳ τῷ Καππαδοκῶν ἄρχοντι καὶ εἰς φυλακὴν ἐμβληθείς[2], παρὰ δὲ τῶν φυλάκων παραχωρηθείς, ἐξῆλθεν καὶ πωλήσας[3] πάντα τὰ ὑπάρχοντα αὐτῷ, πρῶτον μὲν τοὺς[4] κατηγόρους δώροις πολλοῖς ἀντημείψατο· ἔπειτα δὲ τὰ λοιπὰ τοῖς πένησι διανείμας καὶ εἰς τὴν φυλακὴν ὑποστρέψας καὶ μεθ' ἡμέρας τῷ ἄρχοντι παραστάς, τανύεται[5] καὶ δεινῶς ξέεται τὰς πλευρὰς καὶ αὖθις φρουρεῖται· εἶτα ἀγγέλου ἐπιστασίᾳ θάρσους ἐμπίπλαται καὶ ἀναρρώννυται· καὶ πάλιν ἀναρτᾶται καὶ ξέεται σφοδρῶς, ὥστε τὰ σπλάγχνα αὐτοῦ προῦπτον φαίνεσθαι, καὶ τὴν κεφαλὴν ἀποτέμνεται· καὶ αὐτίκα ἀντὶ αἵματος γάλα καὶ ὕδωρ ἐρρύη, ξένον τοῦτο θέαμα τοῖς πᾶσι φανέν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Στεφάνου πάπα Ῥώμης. Ὃς ἦν ἐπὶ Οὐαλλεριανοῦ καὶ Γαλλιηνοῦ[1] τῶν βασιλέων· πολλοὺς δὲ κατηχῶν καὶ βαπτίζων καὶ πρὸς τὸ μαρτύριον ὑπαλείφων, ὕστερον καὶ αὐτὸς συλλαμβάνεται ὑπὸ τοῦ ἡγεμόνος· καὶ σφόδρα αἰκισθείς, τὴν κεφαλὴν ἀφαιρεῖται.

4. Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμεν καὶ ἡ[1] μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου, τοῦ Εὐλαβοῦς ἐπικληθέντος, ὁρμωμένου[2] δὲ ἐκ τῆς τῶν Καππαδο-

1. — [1] ὕδωρ *om.* Sa. — [2] καὶ ἐδίδασκε Sa. — [3] τῆς *om.* Sa. — [4] σφόδρω Sa. — [5] τελεῖται κτλ. *add.* Sa *inter* Synaxaria selecta.
2. — [1] τινός *corr.* S. τινῶν Sa. — [2] βληθεὶς Sa. — [3] ἐξελθεῖν καὶ πωλῆσαι Sa. — [4] τὰς S. — [5] ταννύεται S.
3. — [1] Γαληῖνου S. Sa.
4. — [1] συνέδραμεν καὶ ἡ *om.* Sa. — [2] ὁρμημένου Sa.

Sept. 7. **Ba** : 1. 2. 3. — **Bb** : 1. 2. 3. — **T** : 1. — **L** : 1. 2. — Δανιὴλ τοῦ λεγομένου τοῦ Θασίου (Sept. 12[1]). — **O** : Προεόρτια. — 1. 2. — **G** : 1. 2. — **C** : initio mutil., 2. — **Cb** : 1. 3 : Στεφάνου πάπα Ῥώμης καὶ τῶν σὺν αὐτῷ. Οὐαλλεριανοῦ καὶ Γαλλιηνοῦ βασιλευόντων καὶ διωγμοῦ ὄντος κατὰ τῶν χριστιανῶν, Στέφανος ὁ ἁγιώτατος πάπας Ῥώμης συναγαγὼν ἅπαντας τοὺς τοῦ κλήρου, εἶπεν· « Οὐκ ἔλαθεν » ὑμᾶς, ἀδελφοί, ὅτι διὰ τῶν τυράννων χειλέων ὁ διάβολος ἐλάλησε χριστιανοὺς ἀνερευνᾶσθαι. Μὴ » οὖν δειλανδρήσητε πρὸς τὰ μέλλοντα. » Βόνος δέ τις πρεσβύτερος ὡς ἀπὸ στόματος πάντων εἶπεν· « Ἡμεῖς, δέσποτα, ὑπὲρ τοῦ σώσαντος ἡμᾶς πάντα τὰ τοῦ κόσμου ἀρνούμεθα. Ἕτοιμοί ἐσμεν ὑπὲρ » αὐτοῦ τὸ αἷμα ἡμῶν ἐκχέαι. » Προσέταξε μὲν τοὺς κατηχουμένους βαπτισθῆναι· ἐν οἷς ἦν καί τις ἀνὴρ δήμαρχος τῷ ἀξιώματι, Νεμέσιος τοὔνομα, σὺν τῇ θυγατρὶ αὐτοῦ. Ἥτις ἀπὸ γενέσεως αὐτῆς ἀνεψγμένους τοὺς ὀφθαλμοὺς οὐχ ἑώρα· ἐβαπτίσθη, καὶ εὐθέως ἡ τυφλὴ τρανῶς ἑώρα. Χειροτονεῖται μὲν ὁ Νεμέσιος διάκονος. Καὶ τοῦτο μαθόντες οἱ τύραννοι, παραστήσαντες αὐτὸν τῷ ἡγεμόνι, ἀρνήσασθαι τὸν Χριστὸν ἠνάγκαζον. Ὡς δὲ οὐκ ἔπειθον, ξίφει τὴν κεφαλὴν ἅμα τῇ θυγατρὶ ἀπέκοψαν. Ὁ δὲ πάπας λάθρα τὰ σώματα αὐτῶν λαβὼν ἐκήδευσεν. Ἐπεὶ δὲ καὶ ἄλλοις πολλοῖς ὁ ἀρχιερεὺς διὰ τοῦ βαπτίσματος τὸ μαρτύριον προεξένει, ὧν ἦσαν Συμπρόνιος[1], Ὀλύμπιος, Ἐκσουπερία καὶ Θεόδουλος[2] διὰ πυρὸς τελειωθέντες, ἐζητεῖτο καὶ αὐτὸς καὶ ὁ αὐτοῦ κλῆρος. Μετ' οὐ πολὺ δὲ δώδεκα κρατηθέντες διὰ ξίφους ἐν μιᾷ ὥρᾳ ἐτελειώθησαν· ὧν τὰ ὀνόματα Βόνος, Φαῦστος, Μαῦρος, Βάσσος, Κάστος, Προμήτιβος, Καμνιόσος, Ἰωάννης, Ἐκσουπεράντιος, Κύριλλος, Θεόδουλος, Τερτιλλιανός[3]. Μετὰ δέ τινας ἡμέρας ἐκρατήθη καὶ ὁ θεῖος Στέφανος καὶ σὺν αὐτῷ πλῆθος πρεσβυτέρων καὶ διακόνων καὶ ἀναγνωστῶν. Καὶ παρέστη τῷ τυράννῳ καὶ παραυτὰ ἀπενεχθῆναι εἰς τὸν τοῦ Ἄρεως[4] βωμὸν καὶ ἡ θῦσαι[5] ἢ ἀποθανεῖν. Ὡς δὲ πλησίον τοῦ ναοῦ οἱ ἕλκοντες αὐτὸν ἐγένοντο, εὐξαμένου τοῦ ἁγίου, διελύθη τῶν ἀνόμων ἡ μελέτη. Βροντῶν γὰρ καὶ ἀστραπῶν ἀθρόως μεγίστων συρραγέντων, τρόμος ἐξαίσιος συμπίπτει τοῖς στρατιώταις· καὶ φυγόντες ἀφῆκαν τὸν ἅγιον. Ὁ δὲ εἰς τὸ τῆς καλλινίκου Λουκίλλης κοιμητήριον ἐκκλησιάσας τοὺς πιστούς, ἐδίδασκε μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα. Ἐν ᾧ δὲ τὴν ἱερὰν θυσίαν ἐπετέλει, πλῆθος στρατιωτῶν ἐπεισελθὸν τὴν κεφαλὴν ἀποτέμνει[6] τοῦ ἁγίου, φυγόντων τῶν λοιπῶν. Καὶ χειροτονεῖται ἀντ' αὐτοῦ Ξύστος. — 2 (Ἐμψυχίου). — **M** : 1. — Μνήμη τῶν ἁγίων ἀποστόλων Εὐόδου καὶ Ὀνησιφόρου. Ὁ ἅγιος ἀπόστολος Εὔοδος, ὁ γεγονὼς ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ μετὰ Πέτρον ἐπίσκοπος, ἐν ταῖς ἐπιστολαῖς τοῦ μακαρίου ἀναφέρεται Παῦλου μεγάλως ἐν τοῖς ἑβδομήκοντα ἀριστεύσας καὶ κῆρυξ διαπρύσιος γεγονὼς τοῦ Λόγου. Τὸν δὲ Ὀνησιφόρον, ὃν ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ ὁ ἀπόστολος παρεισάγει, Κολοφωνίας ἐπίσκοπον εὕρομεν

[1] Symphronius *in Passione S. Stephani*, Act. SS.. *Aug. I, 442.* — [2] Θεόδουλος, *infra* Θεόδολος, Cb. Theodolus *l. c.* — [3] *Nominum nonnullorum lectionem corruptam non correximus* : Primitivas, Calumniosus ... Tertullinus, *l. c.* — [4] Ἀέρως Cb. — [5] *supple v. c.* κελεύεται. — [6] ἀπετέμνει Cb.

κῶν δευτέρας ἐπαρχίας καὶ γενομένου δευτέρου ἡγουμένου τῆς εὐαγεστάτης μονῆς τοῦ Σωτῆρος,
f. 21v. τῆς λεγομένης[3] | Βαθέου[4] Ῥύακος.

5. Καὶ ἡ κοίμησις τοῦ ὁσίου Λουκᾶ, τοῦ ἐκ τῆς τῶν Λυκαόνων ἐπαρχίας, τρίτου δὲ ἡγουμένου γενομένου τῆς αὐτῆς μονῆς. Sept.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Η'.

1. Τὸ γενέσιον ἑορτάζομεν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου. Ἧς ὁ πατὴρ Ἰωακεὶμ[1] ἐκαλεῖτο, ἐκ δὲ βασιλικῆς φυλῆς εἶλκε τὸ γένος. Ἀπὸ γὰρ τῆς σειρᾶς τοῦ Ναθὰν[2] τοῦ υἱοῦ Δαβὶδ κατήγετο. Ὅστις Ναθὰν ἐγέννησε τὸν Λευΐ, ὁ δὲ Λευΐ ἐγέννησε τὸν Μελχὶ καὶ τὸν Πάνθηρα, Πάνθηρ δὲ ἐγέννησε τὸν Βαμπάνθηρα[3], Βαμπάνθηρ δὲ τὸν Ἰωακείμ· ἡ δὲ μήτηρ αὐτῆς, ἥτις ἄνδρα ἔσχε τὸν Ἰωακείμ, Ἄννα ὠνομάζετο, καὶ αὐτὴ ἐκ βασιλικῆς φυλῆς ἔλκουσα τὸ γένος· γέγονε γὰρ ἐγγόνη Ματθάν[4], τοῦ εὑρισκομένου τρίτου[5] ἀπὸ τέλους Δαβὶδ καὶ Σαλομῶνος· ὅστις Ματθὰν ἔγημε γυναῖκα, Μαρίαν ὀνόματι, ἐκ τῆς Ἰούδα φυλῆς καὶ ἐγέννησε τὸν Ἰακὼβ τὸν πατέρα τοῦ τέκτονος Ἰωσὴφ καὶ θυγατέρας τρεῖς Μαρίαν, Σοβῆ[6] καὶ Ἄνναν. Καὶ ἡ μὲν Μαρία γεννᾷ Σαλώ- Sept.

— [3] τῆς λεγομένης Sa, τοῦ λεγομένου S. — [4] Βαθέος *corr.* Sa.
1. — [1] ὁ πατὴρ *perperam iterat* S. — [2] Νάθαν S. Sa, *in N. T.* Ναθάμ. — [3] *ita* S, Παμπάνθηρα Sa, Βαρπάνθηρα *legendum est. Cf.* Iohannem Damascenum, De fide Orthod., *IV.* — [4] Ματθὰν S. Sa. — [5] τρίτου *om.* Sa. — [6] Σοβῆ S. Sa, *legendum* Σοβήν.

γεγονότα, δεξιὸν ἐν τοῖς λόγοις καὶ ἀλκιμώτατον μέχρις αἵματος αὐτοῦ τὴν πίστιν ἐπικρατύναντα. Οὗτος ἐν τῷ χορῷ τῶν κηρύκων σὺν τῷ ἀποστόλῳ Εὐόδῳ αὐλίζεται ἐν ταῖς ἐπουρανίαις μοναῖς (Dec. 8[3]). — 3. 2. 5. — **Mv** : 1. add. : Εὐόδου καὶ Ὀνησιφόρου. — 3. 2. 5. — **Mr** : 1. Sept.

SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — **P** : deest. — **F** : 1. — **Fa** : 1. — **Fb** : 1. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **O** : 1 : Τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου. Ἑορτάζεται δὲ ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ τῷ ὄντι πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἐπιτελουμένης ἐκεῖσε τῆς παννυχίδος. — **G** : 1. — **C** : 1. — **Cb** : 1 : Τὸ γενέσιον τῆς ἁγίας Θεοτόκου. Πλάσαντος τοῦ δημιουργοῦ Θεοῦ ἡμῶν τοὺς ἀνθρώπους ἐπὶ ἔργοις ἀγαθοῖς εἰς τὸ γνωρίζειν αὐτὸν μόνον καὶ ποιεῖν τὰ θελήματα αὐτοῦ, ἐφθόνησεν ὁ διάβολος. Καὶ πρῶτον μὲν παρέπεισε τὸν πρῶτον ἄνθρωπον παραβῆναι ἀπατηθέντα διὰ τῆς αὐτοῦ γυναικὸς Εὔας. Ἔπειτα ἔπεισε καὶ τοὺς λοιποὺς ἀνθρώπους, δέδωκεν αὐτοῖς <ὁ Θεὸς> νόμον ἔγγραφον διὰ τοῦ νομοθέτου Μωσέως. Ὡς δὲ οὐδ' ἐκεῖνος ὠφέλησεν, ἠβουλήθη ἀποστεῖλαι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ καὶ λόγον τοῦ ἀναλαβεῖν ἀνθρώπου μορφὴν καὶ λυτρώσασθαι τοὺς ἀνθρώπους ἐκ τῆς χειρὸς τοῦ διαβόλου. Ὅθεν προῳκονόμησεν γεννηθῆναι τὴν μέλλουσαν γεννῆσαι τὸν υἱὸν αὐτοῦ, τὴν καθαρὰν καὶ ἄχραντον Θεοτόκον ἐξ ἁγίων γονέων Ἰωακεὶμ καὶ Ἄννης, οἷς καὶ ἐπηγγείλατο ὁ Θεὸς τουτέστιν ὑπέσχετο δοῦναι καρπὸν κοιλίας. Διὸ καὶ καλεῖται γενέσιον ὡς πρόξενον τῆς τοῦ κόσμου σωτηρίας. — **M** : 1. — Ροῦφος καὶ Ῥουφινιανὸς οἱ αὐτάδελφοι ξ. τ. — Σεβῆρος ξ. τ. — Διήγησις περὶ[1] ἀγάπης[1] πάνυ ὠφέλιμος. Ἱερεύς τις μετ' εὐλαβοῦς διακόνου ἀγάπην τῷ Θεῷ[2] φίλην εἰς ἀλλήλους[3] κτησάμενοι, διὰ δαιμονικῆς σκαιότητος εἰς ἔχθραν περιτραπέντες, ἐπὶ πολὺ ἔμειναν ἀδιάλλακτοι. Ἐπεὶ δὲ ἐπ' αὐτῷ τῷ μίσει τελευτῆσαι τὸν ἱερέα συνέβη, ὁ διάκονος ἤσχαλλεν, ὅτι μὴ ζῶντι[4] τῷ ἱερεῖ τὴν ἔχθραν διέλυσε[5]. Καί τισι τῶν εὐδιακρίτων τὸ συμβὰν κοινωσάμενος, τοῦτον πρός τινα τῆς ἐρήμου μοναστὴν γενέσθαι παρηγγυῶντο[6]. Ὁ δὲ μάλα εὐπροθύμως[7] τοὺς ἐρημικωτέρους τόπους περινοστῶν, τὸν ἰατρὸν ἐπεζήτει. Καὶ δή τινα καταλαβὼν γέροντα, τούτῳ τὴν μνησικακίαν ἀπεκάλυψεν, ἐναργῆ πληροφορίαν ζητῶν παρ' αὐτῷ τῆς ἀφέσεως. Πρὸς ὃν ὁ γέρων· « Ὁ πιστῶς αἰτῶν λαμβάνει· καὶ τῷ κρούοντι ἀνοιγήσεται· οὐκ ἐμὸς ὁ λόγος, » φησίν, ἀδελφέ· καί σοι, ὡς ἐπ' ἀγαθῷ σπεύδοντι, ταχεῖαν τοῦ ζητουμένου λύσιν λαβεῖν παρέξει ὁ » Κύριος. Ὅθεν οὖν[8] ἐλήλυθας, ἀνάστρεφε· καὶ ὑμίας ἐν τῷ ναῷ τῆς μεγάλης ἐκκλησίας γενόμενος, » πρὸ πάντων ὑποκεκρυμμένος τὰς Ὡραίας πύλας κατάλαβε· καὶ τὸν πρώτως[9] ἐν αὐταῖς εἰσβαλόντα κρά- » τησον καὶ ἐξ ἡμῶν αὐτὸν προσαγόρευσον, δοὺς αὐτῷ καὶ τὸ ἐσφραγισμένον τοῦτο πιττάκιον, καὶ παρ' » αὐτῷ ἔσται[10] σοι πάντως βεβαία τῶν σφαλέντων ἡ ἐπανόρθωσις. » Τότε ὁ διάκονος, ὡς ὁ πατὴρ διετάξατο, ἀωρὶ τῶν νυκτῶν, τοῦ ναοῦ καταλαμβάνει τὸ προπύλαιον· καὶ παρευθὺ ὁ δηλωθεὶς ὑπὸ τοῦ πατρὸς ἀνὴρ ἐπανέτειλε· καὶ τοῦτον ὁ διάκονος ἀσπασάμενος, τὸ γραμματεῖον τοῦ γέροντος ἐπιδίδωσιν, ἀνακαλύψας αὐτῷ τὸ ἐπακολουθῆσαν τοῦ δράματος. Ὀξὺς δὲ ὢν ὁ[8] ἀνήρ, οἰκονομίας χάριν τὸ γενόμενον ἔκρινε, καὶ ὅλον ἑαυτὸν καταβρέχων τοῖς δάκρυσιν· « Τίς εἰμι ὁ ἐλάχιστος, ἔλεγεν, ἵνα ἐγὼ τοιούτου » κατατολμήσω[11] ἐγχειρήματος; ὅμως ταῖς εὐχαῖς καταθαρρήσας τοῦ ἀποστείλαντός σε, πρὸς τὸ » προκείμενον τράπωμαι. » Καὶ δὴ ἐπ' αὐταῖς ταῖς κεκλεισμέναις πύλαις, ὡς ἵστατο, τὰς χεῖρας ὑψώσας πρὸς οὐρανὸν καὶ γόνυ κλίνας, τὴν κεφαλὴν εἰς τὸ ἔδαφος τέθεικεν, ὑποψιθυρίζων τῇ προσευχῇ. Καὶ μετὰ μικρὸν ἀναστάς, (φρίττω καὶ[8] λέγειν, κατανοῶν τὸ μυστήριον καὶ τὸ πρὸς τὸν Θεὸν τοῦ ἀνδρὸς εὐπαρρησίαστον)· ὡς γὰρ εἴρηκεν· « Ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου, Κύριε »· τὸ προπύλαιον αὐτῷ αὐτομάτως ἠνέῳκτο καὶ τούτῳ συνεισελθόντος τοῦ διακόνου, ἐπὶ τὴν αὐλὴν τοῦ νάρθηκος ἔστησαν. Αὖθίς τε πάλιν πρὸς τὰς ἐκεῖσε τοῦ ναοῦ ἐξ ἀργυροῦ πύλας γενόμενοι, ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ Matt

[1] *om.* Mv. — [2] κυρίῳ Mv. — [3] ἀλλήλοις Mv. — [4] ζῶνα *ita* Mv. — [5] κατέλυσε Mv. — [6] παρηγγυάτο Mv. — [7] προθύμως Mv. — [8] *om.* Mv. — [9] πρῶτον Mv. — [10] ἔστω Mv. — [11] ἔλεγε τίς εἰμι ἐγὼ ὁ ἐλάχιστος ἵνα κατατολμήσω τοιούτου Mv.

Sept. 8. μην [7] τὴν μαῖαν, ἡ δὲ Σοβὴ γεννᾷ τὴν Ἐλισάβετ, ἡ δὲ Ἄννα γεννᾷ τὴν Θεοτόκον, τὴν κατὰ τὸ ὄνομα [8] τῆς μάμμης καὶ τῆς θείας ἐπικληθεῖσαν Μαρίαν. Ὡς εἶναι τὴν Θεοτόκον θυγατέραν μὲν Ἄννης, ἐγγόνην δὲ Μαθὰν [9] καὶ Μαρίας τῆς γυναικὸς αὐτοῦ, τὴν δὲ Ἐλισάβετ καὶ Σαλώμην [7] ἀνεψιᾶς μὲν τῆς Ἄννης, ἐξαδέλφας δὲ <τῆς [10]> Θεοτόκου. Οὗτος οὖν ὁ Ἰωακεὶμ φιλόθεος ὢν τὸν τρόπον καὶ πλούσιος τὸν βίον, εἰ καὶ διπλᾶ τὰ δῶρα αὐτοῦ τῷ Θεῷ προσέφερεν, ἀλλὰ τὴν ἀπαιδίαν ὠνειδίζετο. Ἐν μιᾷ γὰρ τῶν ἑορτῶν [11] συνήθως προσενέγκας τὰ δῶρα αὐτοῦ, διότι οὐκ ἐποίησε παιδίον, ὠνειδίσθη παρά τινος τῶν Ἰουδαίων, εἰπόντος πρὸς αὐτὸν ὅτι· « Οὐκ ἔξεστί σοι δῶρα προσφέρειν μεθ' » ἡμῶν, διότι ὑπάρχεις ἄτεκνος »· Καὶ ἐπὶ τοῦτο δηχθεὶς [12] τὴν καρδίαν, αὐτὸς μὲν μὴ [13] ὑποστρέψας εἰς τὸν οἶκον παραυτίκα ἐν τῷ ὄρει προσφοιτᾷ εἰς ἔρημον τόπον, ἡ δὲ τούτου σύνευνος ἐν τῷ

— [7] Σαλόμην S. Sa. — [8] κάτ' ὄνομα Sa. — [9] Μαθὰν S. Sa. — [10] τῆς Sa, *om.* S. — [11] ἡμερῶν Sa. — [12] δαχθεὶς S. — [13] μὴ *om.* Sa.

Sept. 8. πρὸς τὸν διάκονον ἔφησεν· « Ἐνταῦθα στῆθι, καὶ περαιτέρω μὴ πρόσελθε [12]. » Ἐκεῖνος δὲ τὴν συνήθη πάλιν ἐπὶ τῇ φλιᾷ ποιήσας μετάνοιαν, τὰς ἀργυρέας πύλας κεκλεισμένας οὔσας ἀνέῳξε. Καὶ εἰσελθὼν ἐν τῷ ναῷ, ξένον θέαμα ἐδέχετο ἐν αὐτῷ. Ἐκ γὰρ τῆς ὀροφῆς τοῦ ναοῦ, λυχνία φωτεινὴ ἐπελθοῦσα πρὸς τῇ κεφαλῇ τοῦ ἀνδρός, ἐφωταγώγει τὸ ἱερόν. Ἀλλὰ καὶ τούτῳ προσευχομένῳ συνείπετο. Ὡς δὲ πρὸς αὐτὸ λοιπὸν τὸ θυσιαστήριον ἔφθασε, κἀκεῖ προσκλίνας τῇ κεφαλῇ [13], ἠρέμα ἔξω πρὸς τὸν διάκονον γίνεται, καὶ πάλιν αὐτομάτως πᾶσαι αἱ πύλαι [14] ἐκλείσθησαν. Τότε ἀγὼν [15] καὶ δειλία τὸν διάκονον ἔλαβε, μὴ τολμῶντα τῷ ἀνδρὶ πλησιάσαι τὸ σύνολον· εἶχε γάρ, ὡς ἔλεγεν, ἀπὸ τῆς εὐχῆς ὡς ἀγγέλου δεδοξασμένον τὸ πρόσωπον, ὡς λοιπὸν λογισμοῖς τὸν διάκονον βάλλεσθαι, λέγοντα· « Μὴ ἄγγελός ἐστιν ὁ » φαινόμενος, καὶ οὐκ ἄνθρωπος; » Ἀλλ' οὐδὲ τοῦτο διέλαθε τὸν φαινόμενον· φησὶ γὰρ πρὸς τὸν διάκονον· « Τί τοῖς λογισμοῖς δι' ἐμὲ πολιορκῇ καὶ ταράττῃ [16], ἄνθρωπε; πίστευσον, ὅτι κἀγὼ χοϊκός εἰμι » ἄνθρωπος καὶ ἐξ αἵματος καὶ σαρκὸς καὶ εὐαγοῦς οἴκου [17], χαρτουλάριος ἐκ τῶν ἐκεῖσε προσόδων τὰ » πρὸς τὴν [18] Ζωὴν ποριζόμενος· ἀλλ' ἡ πάντα καλῶς διεξάγουσα πρόνοια δι' εὐτελῶν πολλάκις μεγάλα » εἴωθε διεξάγειν τεράστια· ὅμως, ἀδελφέ, πρὸς τὸ προκείμενον ἀπίωμεν. » Καὶ ἄμφω πρὸς τὸν φόρον εὐθυδρομήσαντες, τὸν ναὸν τὸν [18] ἐκεῖσε τῆς Θεοτόκου κατέλαβον· καὶ πρὸς τὰς κεκλεισμένας ἤδη πύλας [19] γενόμενοι τοῦ ναοῦ, διὰ προσευχῆς πάλιν κἀκείνας ἀνέῳξε. Καὶ πρὸς αὐτὸ γενόμενος τὸ θυσιαστήριον, τὴν εὐχὴν ἐπετέλει κατὰ τὸ σύνηθες· καὶ τὸν διάκονον ἔξω ἑστῶτα καταλαβὼν μετ' ἐκπλήξεως τὸ « Κύριε ἐλέησον » λέγοντα, αἱ πύλαι ἄφνω μόναι [20] πάλιν ἐκλείσθησαν. Εἶτα πάλιν τὸν ἐν Βλαχέρναις τῆς Θεοτόκου καταλαμβάνουσι [21] ναόν. Ἔλεγε δὲ ὁ διάκονος ὅτι· « Οὕτως ἡμᾶς ὑπελάμβανον τὴν πορείαν » ποιεῖσθαι ἐν τοῖς ναοῖς [22], ὡς μηδὲ πτῆσιν ὀρνέου τῇ ἡμῶν ὀξύτητι παραβάλλεσθαι. » Καὶ δὴ πρὸς τὰς πύλας τοῦ ναοῦ [23] τῆς Θεοτόκου γενόμενοι, αὐτομάτως καὶ αὗται τῷ ἀνδρὶ προσανεῳχθησαν· καὶ τὴν εὐχὴν κἀκεῖ [24] ποιησάμενος, δάκρυσι καταβρέχων τὰς παρειάς, τῆς ἁγίας Σοροῦ τὰς πύλας κατέλαβε· καὶ ἐν αὐταῖς τὸν διάκονον ἐπιστήσας, βλέπειν τρανῶς τῶν εἰσερχομένων παρηγγυᾶτο τὴν κατανόησιν. Καὶ δὴ πρὸς τὴν φλιὰν τὴν ἐξ ἔθους αὐτὸς εὐχὴν ποιησάμενος, αἱ τῶν πυλῶν ἐπάρσεις αὐτῷ τὴν εἴσοδον παρεχώρησαν· καὶ πρὸς τοῦ ναοῦ γενόμενος τὸ μεσαίτατον, τὰ γόνατα τῷ ἐδάφει ἐπερείσας [25], ἀνενδότως ἐν αὐτῷ ἐποίει τὴν δέησιν. Ὡς δὲ μετὰ ταῦτα ὅρκοις ἡμῖν ἐπιστώσατο ὁ διάκονος [26], διεβεβαίου ὅτι ὡς· « Πρὸς τὴν βαθμίδα τῆς πύλης, ἐν ᾗ ἱστάμην θαμβούμενος, ὀφθαλμοφανῶς εἶδον ὡσεὶ διάκονον ἐκ » τοῦ θυσιαστηρίου τινὰ [27] ἐξερχόμενον, καὶ ἐν τῇ χειρὶ κατέχοντα θυμιατήριον, καὶ θυμιῶντα τὸ ἱερὸν » ἁγίασμα. Μετὰ δὲ μικρᾶς τινος ὥρας διάστημα ὡς κληρικούς τινας εἶδον εἰσερχομένους, ἱερέων » στολὴν περικειμένους λευκοφανῆ· καὶ πάλιν ἱερέων ἄλλο σύστημα φωτεινόν, πορφυροῦν [28] ποδήρη » περικειμένους, εἰσέρχεσθαι· καὶ τούτους ἀμφοτέρους χορείαν ἐγείραντας, ἐπᾴδειν μέλος μάλα τερπνὸν » καὶ ἐξαίσιον, ὡς μηδὲν ἕτερον λαβεῖν [29] τὸν διάκονον δύνασθαι, εἰ μὴ μόνον τὸ ἀλληλούϊα. Καὶ μετὰ τὸ » τὴν εὐχὴν τελέσαι τὸν χαρτουλάριον ἐξελθεῖν καὶ εἰπεῖν πρὸς τὸν διάκονον· Ἀδελφέ, ἔνδον τοῦ ναοῦ » ἀκωλύτως γενόμενος, πρὸς τοὺς τὴν ἀριστερὰν χορείαν ἐπέχοντας ἱερεῖς στόχασαι, εἰ δύναιο κατα- » νοῆσαι τὸν μεθ' οὗ τῇ μνησικακίᾳ ἀδιάλλακτος ἔμεινας. » Τότε εἰσελθὼν ὑπότρομος ὁ διάκονος, σπουδῇ πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον ἔξεισιν εἰρηκὼς μὴ δύνασθαι πρὸς τοὺς ἐκεῖ [30] τὸν ἐπ' ἔχθρᾳ ἰδεῖν τὸν βίον καταλύσαντα [31] ἱερέα. Εἶτα πάλιν πρὸς αὐτὸν ὁ ἀνθρωπόμορφος ἄγγελός φησιν [32]· « Εἰσελθὼν » κατάθρει [33] καὶ τὴν χορείαν τήνδε τὴν δεξιάν [34]. » Καὶ δὴ πρὸς αὐτὴν γενόμενος ὁ διάκονος, καθαρῶς ἑστῶτα ἐν αὐτῇ γνωρίσαι [35] τὸν ζητούμενον ἔφασκε. Καὶ πρὸς αὐτὸν ὁ μακάριος· « Εἰ τοῦτον ἀκριβῶς » κατενόησας, εἰπὲ πορευθείς· τάδε σοι καὶ Νικήτας ὁ χαρτουλάριος ἔξω ἐστὼς ἐλθέ, προσφωνεῖ. » Καὶ πορευθεὶς ὁ διάκονος κατὰ τὴν διαταγὴν τὸν ἱερέα ἐκ τῆς δεξιᾶς πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον συνεξάγει χορείας· ᾧ [36] πραείᾳ ἔλεξε [37] τῇ φωνῇ· « Κύριε πρεσβύτερε, διαλλάγηθι τῷ ἀδελφῷ, διὰ τὸ » ἀμφοτέρους ἐν τῇ σῇ ἀθρόᾳ μεταβολῇ ἀσυμφώνους μεῖναι τῷ σφάλματι. » Τότε γόνυ ἑκάτεροι [38] κλίναντες, ἐν ἁπλῷ φιλήματι τὴν ἔχθραν διέλυσαν. Καὶ ὁ μὲν ἱερεὺς τὸν ναὸν εἰσέδυ, καὶ τὴν αὐτοῦ χορείαν κατέλαβεν. Ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος ἔλαβε τὸν διάκονον, καὶ τῇ φλιᾷ τοῦ ἱεροῦ ἁγιάσματος προσπεσόντος, αἱ πύλαι τούτου θείᾳ δυνάμει ἐκλείσθησαν. Καὶ πρός τι μέρος [39] τῆς ὁδοῦ διανύσαντες,

— [12] πρόβενε Mv. — [13] τὴν κεφαλὴν Mv. — [14] θύραι Mv. — [15] ἀγωνία Mv. — [16] ῶ Mv. — [17] εἰμὶ *add.* Mv. — [18] *om.* Mv. — [19] πύλας ἤδη Mv. — [20] μόναι ἄμφω Mv. — [21] καταλαμβάνει Mv. — [22] ἐν τοῖς ναοῖς τὴν πορείαν ποιεῖσθαι Mv. — [23] τοῦ ναοῦ *om.* Mv. — [24] κἀκεῖσε Mv. — [25] ὑπερείσας Mv. — [26] καὶ *add.* Mv. — [27] τινα ἐκ τοῦ θ. Mv. — [28] πορφύραν Mv. — [29] καταλαβεῖν Mv. — [30] ἐκεῖσε Mv. — [31] ἰδεῖν τὸν βίον καταλίσαντα ἰδεῖν Mv. — [32] *om.* Mv. — [33] κατάθεε Mv. — [34] εἴρηκεν *add.* Mv. — [35] ἐγνώρισε M. — [36] καὶ *add.* Mv. — [37] ἔλεγξε Mv. — [38] ἀμφότεροι Mv. — [39] καὶ μέρος τι Mv.

κήπῳ αὐτῆς, δάκρυσι <δὲ [14]> καὶ λιταῖς ἱκετεύοντες τὸν Θεὸν δοῦναι αὐτοῖς τέκνον, εἰσηκούσθησαν καὶ παρεσχέθη αὐτοῖς καρπὸς κοιλίας [15] ἅγιος, ἡ [16]
f. 22. ὑπεράμωμος καὶ θεοτόκος Μαρία· ἧς | σήμερον τὴν τιμίαν καὶ ὑπερκόσμιον γέννησιν ἑορτάζομεν. Sept. 8.
Τελεῖται δὲ ἡ ταύτης σύναξις ἔν τε τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ ἐν τοῖς Χαλκοπρατείοις [17] καὶ ἐν τοῖς Οὐρβικίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Θ'.

1. Ἡ σύναξις ἐπιτελεῖται τῶν δικαίων Ἰωακεὶμ καὶ Ἄννης, ἣν παρελάβομεν ἑορτάζειν τῇ ἐπαύριον τοῦ γενεσίου τῆς Θεοτόκου, οὐκ ἐπειδὴ κατὰ ταύτην ἔσχον τῆς Ζωῆς τὴν τελείωσιν (ἡ [1] γὰρ εἰκοστὴ πέμπτη τοῦ ἰουλίου ταύτην ἡμῖν γνωρίζει [2]), ἀλλ' ἐπειδὴ πρόξενοι τῆς παγκοσμίου σωτηρίας διὰ τῆς ἐξ αὐτῶν προελθούσης ἁγίας θυγατρὸς γεγόνασι, καταλλαγῆς λαβόντες ἐνέχυρα ἐν τῇ θείᾳ γεννήσει αὐτῆς. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἐξαέρῳ οἴκῳ τῆς Θεοτόκου πλησίον τῆς μεγάλης ἐκκλησίας ἐν τοῖς Χαλκοπρατείοις [3]. Sept. 9.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Σευηριανοῦ· ὃς ἐγένετο ἐκ πόλεως Σεβαστείας, τάξεως ὑπάρχων τῶν σινατόρων. Ἐπὶ δὲ Λικινίου [1] τοῦ βασιλέως συλληφθεὶς ὑπὸ τοῦ δουκὸς Λυσίου διὰ τὸ ὁμολογεῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ διὰ τὸ πρὸς τὸν τοῦ μαρτυρίου ἀγῶνα ὑπαλεῖψαι τοὺς σαράκοντα Χριστοῦ [2] μάρτυρας, κρεμάννυται καὶ τύπτεται ἰσχυρῶς μετὰ βουνεύρων καὶ ξέεται τὰς πλευρὰς καὶ εἰς φρουρὰν ῥίπτεται· καὶ αὖθις ἐξαχθεὶς καὶ κρεμασθεὶς ἐπὶ τοῦ τείχους λίθοις μεγάλοις δεσμεῖται τοὺς πόδας. Ἐπὶ πολὺ δὲ κρεμάμενος καὶ ὑπὸ τῶν πληγῶν δαπανώμενος καὶ ὑπὸ τοῦ βάρους τῶν λίθων τὰ νεῦρα διατεινόμενος καὶ πικρῶς καὶ ἀπανθρώπως βασανιζόμενος, εὐχαρίστως τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Τοῦ δὲ μαρτυρικοῦ λειψάνου αὐτοῦ πρὸς ταφὴν ἀποκομιζομένου καὶ τῶν πιστῶν προστρεχόντων πρὸς ὑπαντήν, δούλη τις τοῦ ἁγίου τὸν ἄνδρα αὐτῆς ἀποβαλομένη [3] διὰ θανάτου καὶ τοῦτον προθεῖσα καὶ ἀπολοφυρομένη, ἐπειδὴ ἤκουε προκομίζεσθαι τὸ λείψανον τοῦ κυρίου αὐτῆς, ἀναβοήσασα μετ' ὀλοφυρμοῦ καὶ εἰποῦσα πρὸς τὸν κείμενον· « Ἔγειραι [4], ἄνερ φίλτατε· δεῦρο καὶ ἡμεῖς ἀπαντή- » σωμεν πρὸς | τὸν κύριον ἡμῶν », ἔσχε παραυτίκα f. 22v.
ὑπακούσαντα καὶ ἀναστάντα καὶ ὑποζωσάμενον καὶ ὑπαντήσαντα μετ' αὐτῆς καὶ ἐνταφιάσαντα καὶ δεκαετῆ καιρὸν προσμείναντα τῇ σορῷ τοῦ μάρτυρος καὶ αὖθις πρὸς Κύριον ὁσίως ἐκδημήσαντα.

— [14] δὲ Sa, *om.* S. — [15] αὐτοῖς καρκὸς (*corr.*) κοιλίας Sa. — [16] ἡ *om.* Sa. — [17] Χαλκοπρατίοις S. Sa.
1. — [1] εἰ S. — [2] ταύτην γνωρίζει ἡμῖν Sa. — [3] Χαλκοπρατίοις S. Sa.
2. — [1] Λικινίου Sa, Λικιννίου S. — [2] τοῦ Χριστοῦ Sa. — [4] ἀποβαλλομένη Sa. — [4] ἔγεῖραι Sa, ἔγειρε S.

ἄμφω ἔστησαν. Καὶ ὁ τοῦ Θεοῦ ἄνθρωπος οὕτως [40] ἔφη πρὸς τὸν διάκονον· « Ἀδελφέ, σώζων σώζου, Sept. 8.
» καὶ τὴν σεαυτοῦ ψυχὴν [41] περιποίησον, καὶ τῷ πρὸς τὴν ἐμὴν ἀφέλειαν [42] πατρί σε ὁδηγήσαντι [43] εἰπὲ » πορευθείς· Τῶν εὐχῶν σου ἡ καθαρότης καὶ ἡ πρὸς Θεὸν παρρησία καὶ νεκρὸν πρὸς εἰρήνην » ἐξαναστῆσαι δύναται, ἡμῶν εἰς τοῦτο μηδὲν τὸ παράπαν συμβαλλομένων [44]. » Τοῦτο εἰπὼν ἐξ ὀφθαλμῶν τοῦ διακόνου ἐγένετο. Ἐκεῖνος δὲ προσκυνήσας τὸ ἔδαφος, ἐν ᾧ τοῦ θαυμαστοῦ ἦσαν [45] οἱ πόδες ἀνδρός, τὴν πρὸς τὸν γέροντα πορείαν ἐκπεπληγμένος ἤνυε, δοξάζων καὶ εὐλογῶν τὸν Θεόν, ὅτι αὐτῷ ἡ [46] δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. — **Mv** : 1. — Ῥοῦφος καὶ Ῥουφιανός. — Σεβῆρος. — Ἀρτεμίδωρος π. τ. — Διήγησις πάνυ ὠφέλιμος. — **Mr** : 1.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. — **H** : 1. 2. 4. 3. — **P** : 1. 2 : ἄθλησις τοῦ ἁγίου μάρτυρος Σεβηριανοῦ ἐπὶ Λικινίου βασιλέως ἐν πόλει Σεβαστείᾳ, ἐν τῇ τάξει ὑπάρχων τῶν σινατόρων καὶ ἀλείπτης γενόμενος τῶν ἁγίων τεσσαράκοντα μαρτύρων ἐπὶ Λυσίου ἡγεμόνος. — 4. — **F** : 1. 2. 3. — **Fa** : 1. 2. 3. — **Fb** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2. 3. — **Bb** : 1. 2. 3. — **T** : 1. — **L** : 1. — **O** : 1. — **G** : 1. 2. 3. — **C** : 1. 2. — **Cb** : 1. 2. — **M** : 1. 3. 2. — Θεοφάνους τοῦ ὁμολογητοῦ, τοῦ πρὸ τοῦ Διοκλητιανοῦ ἀσκήσαντος. Οὗτος ἐξ Ἑλλήνων <ἦν [1]> γονέων· τῷ Χριστῷ δὲ προσελθὼν ἐκ νεαρᾶς ἡλικίας, ἔτι νήπιος ὤν, εἶδε παιδίον ὑπὸ ψύχους κινδυνεῦον, καὶ ἐνέδυσεν αὐτὸ τὰ οἰκεῖα ἱμάτια. Ἐρωτήσαντος δὲ τοῦ πατρὸς αὐτοῦ· « Ποῦ σου, τέκνον, τὰ ἱμάτια; », « Τὸν Χριστὸν ἐνέδυσα » ἔφη. Καὶ ὁ πατήρ· « Καὶ τίς ἐστιν [2] ὁ Χριστός; » εἶπεν· « ἡμεῖς γὰρ Θεὸν [3] Ἑρμῆν καὶ Ἀπόλλωνα σεβόμεθα. » Τότε τὸ παιδίον τὸν πατέρα ἀρνησάμενον ἔλαβεν [4] ἄγγελος Κυρίου καὶ ἀνήγαγεν [5] εἰς τὸ ὄρος τὸ Διαβηνὸν καὶ παρέθετο τὸ παιδίον [6] ἀνδρὶ ἀσκητῇ, χρόνους ἑβδομήκοντα πέντε τὸν μοναστὴν ὑπερχομένῳ βίον· ὅπερ ὁ γέρων λαβὼν ἐξεπαίδευσεν ἐν μοναχικῇ καταστάσει τὰ ἱερὰ γράμματα, τρεφόμενοι [7] καὶ ἄμφω ὑπὸ τοῦ θείου ἀγγέλου. Τοῦ δὲ γέροντος μετὰ παραδρομὴν χρόνων πρὸς Κύριον ἐκδημήσαντος, ὁ παῖς ἐν τῷ σπηλαίῳ εἴχετο τῆς ἀσκήσεως ἐπὶ χρόνοις πεντήκοντα καὶ [8] ὀκτώ. Εἶθ' οὕτως ὑπὸ τοῦ Θεοῦ [9] ἀγγέλου ὁδηγηθείς, ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου λέοντι ἐπικαθήμενος σταδίους ἑξήκοντα καὶ ἐκήρυσσε πανταχοῦ τὴν εἰς Χριστὸν πίστιν· ὃν καὶ κρατήσαντες οἱ βασιλεῖς Κάρος καὶ Καρῖνος καὶ Νουμεριανὸς δέδωκαν αὐτῷ κόσσους [10] ἑκατόν. Εἶθ' οὕτως διαφόρους βασάνους ἐπενεγκόντες [11] αὐτῷ, ὡς εἶδον ὅτι δι' ὧν ἐθαυματούργει πλῆθος οὐκ ὀλίγον προσήρχετο [12] τῷ Χριστῷ Sept. 9.

— [40] οὕτω πῶς Mv. — [41] καὶ *add.* Mv. — [42] εὐτέλειαν Mv. — [43] ἀποστείλαντι Mv. — [44] καὶ *add.* Mv. — [45] ἵσταντο Mv. — [46] πρέπει Mv.
[1] Mv, *om.* M. — [2] τίς Mv. — [3] *om.* Mv. — [4] αὐτὸ *add.* Mv. — [5] αὐτὸ *add.* Mv. — [6] τὸ παιδίον *om.* Mv. — [7] ἐτρέφοντο δὲ Mv. — [8] *om.* Mv. — [9] θείου Mv. — [10] κόνσους M. — [11] ἐνεγκόντες Mv. — [12] προσέρχονται Mv.

Sept. 9. **3.** Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν ἑκατὸν πεντήκοντα ἁγίων θεοφόρων πατέρων [1] τῶν ἐν Ἐφέσῳ [2] συναχθέντων καὶ καθελόντων τὸν δυσσέβῆ Νεστόριον· ἥτις ἐστὶ καὶ οἰκουμενικὴ καὶ τρίτη <σύνοδος [3]>, ἠθροίσθη δὲ ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου, πατριάρχου μὲν γεγονότος Κωνσταντινουπόλεως, τὸν Χριστὸν δὲ [4] διαιροῦντος καὶ κατατέμνοντος· ψιλὸν γὰρ ἄνθρωπον αὐτὸν εἶναι ἔλεγεν ὁ παράφρων καὶ οὐ Θεὸν σεσαρκωμένον.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Χαρίτωνος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Δευτέρῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ι.

Sept. 10. **1.** Ἄθλησις τῶν ἁγίων μαρτύρων αὐταδέλφων καὶ παρθένων [1] Μηνοδώρας, Νυμφοδώρας καὶ Μητροδώρας [2]. Αὗταὶ ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως οἰκοῦσαι ἀπὸ μιλίων δύο τῶν ἐξερχομένων θερμῶν [3] ὑδάτων ἐν τοῖς Πυθίοις [4]· διαβληθεῖσαι δὲ Φρόντωνι [5] τῷ τῆς χώρας ἄρχοντι καὶ τούτῳ παραστᾶσαι καὶ μὴ πεισθεῖσαι τὸν Χριστὸν ἐξομόσασθαι, τιμωρίαις καθυποβάλλονται. Καὶ πρῶτα μὲν ἡ πρώτη ἀδελφὴ Μηνοδώρα ὑπὸ τεσσάρων δημίων ξανθεῖσα [6], εἶτα καὶ διὰ ῥάβδων τὰ σκέλη συντριβεῖσα καὶ ταῖς βασάνοις προσκαρτεροῦσα καὶ προσευχομένη τελειοῦται. Δευτέρα δὲ ἡ Μητροδώρα παραστᾶσα τῷ δικάζοντι καὶ κατ' ὀφθαλμοὺς αὐτῆς βλέπουσα τὸ λείψανον τῆς ἀδελφῆς ἐρριμμένον [7] καὶ διεξῳδηκός, ἠναγκάζετο ἀρνήσασθαι τὸν Χριστόν, ἵνα μὴ τὰ ὅμοια τῇ ἀδελφῇ πάθῃ. Τούτων λεγομένων, συνεισελθοῦσα τρίτη καὶ ἡ Νυμφοδώρα καὶ τῶν αὐτῶν ἀκούσασα, ὡς οὐδὲ [8] αὐτὴ ἐπείθετο, ἐκδίδονται καὶ ἄμφω τοῖς δημίοις πρὸς φόνον· ἃς λαβόντες ἐκεῖνοι καὶ τοῦ βήματος ἐκ|βαλόντες [9], μοχλοῖς σιδηροῖς συντρί- f. 23.
βουσι πάντα τὰ μέλη αὐτῶν· καὶ οὕτως τοῦ βίου ἐξάγονται. Θάπτονται δὲ πλησίον τῶν θερμῶν ὑδάτων, πολλὰς ἰάσεις ἕως τῆς σήμερον ἐπιτελοῦσαι.

2. Τῇ αὐτῇ ἡμέρᾳ <μνήμη [1]> τοῦ ἁγίου μάρτυρος Βαριψαββᾶ [2]. Γέγονε δὲ ἡ ἄθλησις αὐτοῦ ἐξ αἰτίας τοιαύτης. Κατὰ τὸν καιρόν, ὅτε τὸν δεσπότην ἡμῶν [3] τὸν κύριον Ἰησοῦν Χριστὸν οἱ Ἰουδαῖοι ἐσταύρωσαν, ἦν τις ὀνόματι Ἰάκωβος παρεστὼς τῷ σταυρῷ· ὅστις θεωρήσας τὸν στρατιώτην [4], τὸν τῇ λόγχῃ [5] ἐκκεντήσαντα τὴν πλευρὰν τοῦ Κυρίου, καὶ τὸ ἐκβλύζον ἐκ ταύτης αἷμα καὶ ὕδωρ, δραμὼν καὶ λαβὼν κολοκύνθην [6] καὶ ἐν αὐτῇ δεξάμενος τοὺς θεορρύτους κρουνούς, κατεῖχε κρύφα, εἶτα τελευτῶν κατέλιπε [7] τὴν κολοκύνθην [6] δύο ἐρημίταις [8] ἀνθρώποις· κατὰ δὲ γενεὰν διαδιδομένου ὡς κλήρου τοῦ ἄγγους, ἔφθασε καὶ εἰς τοῦτον τὸν

3. — [1] ἁγίων πατέρων καὶ θεοφόρων Sa. — [2] τῆς ἐν Ἐφέσῳ Sa. — [3] σύνοδος *add.* Sa, *om.* S. — [4] τὸν δὲ Χριστὸν Sa.
1. — [1] παρθένων καὶ αὐταδέλφων Sa. — [2] Νυμφοδόρας καὶ Μητροδόρας S, *hic et infra.* — [3] *om.* Sa. — [4] Πιθύοις S : πυθίοις Sa. *et* Stephanus Byzantius : ἔστι καὶ Βιθυνίας Θέρμα τὰ μὲν Πύθια κτλ. — [5] Φρόντονι S. — [6] καταξανθεῖσα Sa. — [7] ἐριμμένον S. — [8] καὶ τῶν ||||| αὐτῶν ἀκούσασα ὡς δὲ Sa. — [9] ἐκβαλλόντες S.
2. — [1] μνήμη *om.* S. — [2] Βαρυψαβᾶ Sa *et* Menaea, Βαριψαββᾶ S, Βαριψαβᾶ *cod. Vatic. 1589*, Βαρυψουβᾶ P. — [3] ὅτε οἱ Ἰουδαῖοι τὸν δεσπότην ἡμῶν ἐσταύρωσαν Sa. — [4] τὸν στρατιώτην Sa, τῷ στρατιωτῃ S. — [5] τὸν λόγχην Sa. — [6] κολοκύνθην Sa. κολοκύνθα S. — [7] καταλέλοιπεν Sa. — [8] ἐρεμίτες S.

Sept. 9. καὶ ἐβαπτίζοντο [13] ὑπ' αὐτοῦ, αἰδεσθέντες ἀπέλυσαν αὐτὸν ἐν ἀνέσει [14] διάγειν. Καὶ πάλιν ἀνελθὼν εἰς ὃ [15] ἦν πρῴην σπήλαιον, καὶ ἑτέρους ἑπτακαίδεκα χρόνους ἀσκήσεως [16] διαβιβάσας, ὡς εἶναι τοὺς ὅλους τῆς ἀσκήσεως αὐτοῦ [17] χρόνους ἑβδομήκοντα πέντε, ἀπέστη [18] πρὸς Κύριον. — 4. — Στράτων ἐν κέδροις δυσὶ δεθεὶς καὶ διαμερισθεὶς τ. — **Mv** : 1. 2. — Θεοφάνους. — 4. — Στράτων. — Ἀμμιανός, Θεόδωρος καὶ Ἰουλιανὸς π. τ. — **Mr** : 1. 2.

Sept. 10. SYNAXARIA SELECTA. **Sa** : 1. 2, scriptum non suo loco, manu recenti, in principio libri, add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Ξηρολόφου. — 3. 4. 5. — **H** : Προσκύνησις τῶν τιμίων ξύλων ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. — 2. 1. — **P** : 5 : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 2. 1. — **F** : 5. 1. 2. 3. — **Fa** : 5. 1. 2. 3 (Πλουχερίας). — 4. — **Fb** : 5. 1. 2. 3. 4. — **B** : 2. 1. — **Ba** : Εἰς τὴν προσκύνησιν τῶν τιμίων ξύλων. — 5. 2. 1. 3 (= S). — **Bb** : 2. 1. 3. — **T** : 1. — **L** : 1. 2. — **O** : 1. 2. — **G** : 1. 2. 3. 4. — **C** : 2. 1. — Διοδώρου καὶ Διδύμου (Sept. 11[3]). — Ἴας (Sept. 11[2]). — **Cb** : 2. 1. — Διοδώρου καὶ Διδύμου. Οὗτοι οἱ ἅγιοι μάρτυρες Διόδωρος καὶ Δίδυμος ὑπῆρχον ἐκ πόλεως Λαοδικείας [1] τῆς Συρίας. Χριστιανοὶ δὲ ὄντες ἐδίδασκον ἐπὶ τῷ ὀνόματι κυρίου τοῦ Θεοῦ ἡμῶν, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ πολλοὺς τῶν ἀπίστων πρὸς τὸν Θεὸν ἐπιστρέφοντας ἐβάπτισαν. Διαβληθέντες δὲ παρά τινων ἑλλήνων τῷ τῆς Λαοδικείας [1] ἄρχοντι, παρέστησαν τῷ κριτηρίῳ αὐτοῦ. Ἐρωτηθέντες δὲ καὶ παρρησίᾳ ὁμολογήσαντες τὸ ὄνομα τοῦ Χριστοῦ, ἰσχυρῶς βασανίζονται καὶ τὸν Χριστὸν μὴ ἀρνησάμενοι, ἀλλὰ μᾶλλον τὴν τῶν εἰδώλων πλάνην ἐλέγξαντες, καὶ τὸν ἄρχοντα ὡς παράνομον ἐμπτύσαντες, ἐν αὐταῖς ταῖς βασάνοις πέρας τοῦ βίου ἐδέξαντο, τῷ Θεῷ εὐχαριστοῦντες μέχρι τῆς τελευταίας ἀναπνοῆς. — Ἴας ἐν Περσίδι μαρτυρησάσης. Ἡ ἁγία μάρτυς Ἴα ὑπῆρχεν ἀπὸ κάστρου λεγομένου Βιζάλης, αἰχμάλωτος [2] κρατηθεῖσα μετὰ ἐννέα χιλιάδων χριστιανῶν παρὰ τῶν Περσῶν, ἐπὶ Σαβωρίου [3] τοῦ παρανόμου. Κρατηθεῖσα δὲ ὡς χριστιανή, παρεδόθη παρὰ Σαβωρίου τοῖς ἀρχιμάγοις. Οἵτινες ἀναγκάσαντες αὐτὴν ἀρνήσασθαι τὸν

— [13] βαπτίζονται Mv. — [14] ἀσκήσει Mv. — [15] ὅπερ Mv. — [16] ἐν τῇ ἀσκήσει Mv. — [17] αὐτῷ Mv. — [18] μετέστη Mv.
[1] Λαοδικίας Cb. — [2] αἰγμάλωτος Cb. — [3] Σαβορίου Cb.

ἅγιον μοναχὸν ὄντα, ὅστις δι' αὐτοῦ πολλὰς ἰάσεις καὶ θαύματα ἐπετέλει, πορευόμενος κατὰ πᾶσαν πόλιν καὶ χώραν. Ἰδόντες δέ τινες τὸν Θεὸν μὴ φοβούμενοι καὶ νομίσαντες ὅτι, ἐὰν αὐτὸν φονεύσωσι καὶ λάβωσι τὸ τὰς ἰάσεις ἐπιτελοῦν, κερδήσουσι διὰ τοῦτο [9] χρήματα πολλά, νυκτὸς ἐπελθόντες ἀπέκτειναν αὐτόν· ἀλλ' οὐχὶ καὶ τοῦ σκοποῦ ἐπέτυχον. Θείᾳ γὰρ ἐπινεύσει ὁ θησαυρὸς οὗτος προπαρεδόθη τῷ μαθητῇ αὐτοῦ φυλαττόμενος καὶ μετὰ καιροὺς τῇ μεγαλοπόλει ταύτῃ ἀπεδόθη [10].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῆς τιμίας Πουλχερίας, ἥτις ἀδελφὴ μὲν γέγονε Θεοδοσίου [1] τοῦ μικροῦ, ὠνομάσθη δὲ γυνὴ Μαρκιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως. Μεθ' οὗ μέχρι γήρως τὴν ἑαυτῆς σωφροσύνην φυλάξασα καὶ τὴν εὐσέβειαν ἄκρως τηρήσασα καὶ πολλὰ κατορθώματα ἔν τε ναῶν κτίσεσι καὶ πτωχείων ὡς ἀληθὴς βασίλισσα ποιήσασα, παρεσκεύασεν καὶ τὴν ἐν Χαλκηδόνι [2] ἁγίαν σύνοδον γενέσθαι. Διὸ καὶ μετὰ παρρησίας ἐν εἰρήνῃ ἐκοιμήθη. Sept. 10.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου καὶ ὁμολογητοῦ Παύλου, ἐπισκόπου γενομένου Νικαίας.

5. Δεῖ δὲ γινώσκειν, ὅτι ἀπὸ ταύτης τῆς δεκάτης ἄχρι καὶ αὐτῆς τῆς ιγ' προτίθενται ἄ|νωθεν ἐν f. 23v.
τῇ μεγάλῃ ἐκκλησίᾳ τὰ τίμια ξύλα· καὶ ἀνδρῶν εἰσερχομένων ἀπὸ ἕωθεν καὶ προσκυνούντων ἄχρι τῆς ὑψώσεως τοῦ καθ' ἡμέραν θυομένου ἄρτου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐν τῇ λειτουργίᾳ καὶ ψαλλόντων· « Σῶσον, Κύριε, τὸν λαόν σου », ἀντὶ δὲ τρισαγίου· « Τὸν σταυρόν σου προσκυνοῦμεν, » δέσποτα » — οὕτως αἴρονται καὶ πάλιν τῇ ἐπαύριον προτίθενται ἄχρι τῆς προδηλωθείσης ὥρας· ἐν δὲ τῇ ὑστεραίᾳ τούτων καταγενομένων, συντρέχουσι καὶ αἱ γυναῖκες εἰς προσκύνησιν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΑ'.

1. Μνήμη τῆς ὁσίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ζήνωνος πλουσίων γονέων θυγάτηρ, ὡραία πάνυ τὴν ὄψιν, ἀνδρὶ συζευχθεῖσα εὐγενεστάτῳ καὶ εὐλαβεῖ ὀνόματι Παφνουτίῳ. Ἐπεὶ δὲ φθόνῳ διαβόλου συνέβη αὐτῇ προσφθαρῆναι κατ' ἔρωτα σατανικὸν ἑτέρῳ ἀνδρί, μετὰ τὴν ἐκπλήρωσιν τῆς ἁμαρτίας μεταμεληθεῖσα καὶ μὴ φέρουσα [1] τὸν τοῦ οἰκείου συνειδότος ὀνειδισμόν, ἀποδυσαμένη τὰ κοσμικὰ καὶ λάθρα ὑποδῦσα τὸ ἀγγελικὸν σχῆμα, ὡς ἀνὴρ Θεόδωρος λεγομένη καὶ εὐνοῦχος νομιζομένη, ἀπῆλθεν εἰς ἀνδρῷον μοναστήριον. Ὅθεν πᾶσαν ἄσκησιν καὶ σκληραγωγίαν ἐνδειξαμένη καὶ συκοφαντηθεῖσα ὡς πεπορνευκὼς καὶ τῆς μονῆς ἀπορ- Sept. 11.

— [9] διὰ τοῦτου Sa. — [10] τελεῖται κτλ. *add.* Sa. *inter* Synaxaria selecta.
3. — [1] Θεοδωσίου S. — [2] Χαλκιδόνη S.
1. — [1] μὴ ἰσχύουσα φέρειν Sa.

Χριστόν, οὐ μόνον οὐκ ἔπεισαν, ἀλλὰ καὶ κατεγελάσθησαν ὑπ' αὐτῆς. Ὅθεν εἰς φυλακὴν εἰσάγεται, χρόνον ὁλόκληρον ὑπὸ λιμοῦ καταπονουμένη, εἶτα ἐξαγαγόντες αὐτὴν ἔτυψαν σφοδρῶς μετὰ ῥαβδίων βοΐνων ἀκαθαρίστων· καὶ πάλιν ἐνέβαλον εἰς φυλακήν. Καὶ ἐποίησεν μῆνας δεκαπέντε. Εἶτα ἐξάγεται καὶ δεσμεῖται σχοινίοις λεπτοῖς τά τε σκέλη καὶ τοὺς μηροὺς καὶ τὰς χεῖρας καὶ σφίγγεται ὑπὸ στυρακίου, ὥστε τὰ αὐτῆς ὀστᾶ τρισμὸν ποιῆσαι. Εἶτα τύπτεται λώροις ὠμοβύρσοις τὰς ψυάς καὶ τὴν κοιλίαν καὶ μετὰ ταῦτα ἀπεκεφαλίσθη. — **M** : 1. — Τοῦ ἁγίου μάρτυρος Χαρίτωνος. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Δευτέρῳ (Sept. 9[4]). — 2. — Πέτρος ἐπίσκοπος Νικαίας (Sept. 11[4]). — 3. — Μνήμη τῶν ἁγίων ἀποστόλων Ἀπελλοῦς, Λουκᾶ καὶ Κλήμεντος. Ἄλλος οὗτος ὁ ἀπόστολος Ἀπελλῆς καὶ ἕτερος ὁ τῆς Ἡρακλείας τῆς ἐν τῇ Θρᾴκῃ ἐπίσκοπος γεγονώς. Τούτου δὲ μέμνηται ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους, ὡς φωστὴρ τῆς Σμύρνης γέγονε· καὶ τῷ Θεῷ ὁσίως δουλεύσας πρὸς αὐτὸν ἀναλύει. Καὶ οὗτος ὁ Λουκᾶς οὐχ ὁ εὐαγγελιστής, ἀλλ' ὃν ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ μαρτυρεῖ, πρωτόθρονος τῆς ἐν Συρίᾳ Λαοδικείας γενόμενος, καὶ καλῶς ποιμάνας ἀπῆλθε πρὸς Κύριον. Κλήμης δὲ καὶ οὗτος, ὃν ἐν τοῖς πρὸς Κολοσσαεῖς ὁ ἀπόστολος διηγεῖται (καὶ γὰρ οὗτος πρῶτος πάντων ἐπίστευσεν εἰς Χριστὸν ἐξ ἐθνῶν), καὶ Σαρδικῆς ἐπίσκοπος γέγονε, καὶ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ περιφέρων, πρὸς Κύριον ἐξεδήμησεν. — **Mv** : 1. 2. 3. — Ἀπελλοῦς, Λουκᾶ καὶ Κλήμεντος. — Ἴας. — **Mr** : 1. Sept. 10.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ Ξηρολόφου. — 3. — **H** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 4. — Δημητρίου, Εὐανθίας καὶ Δημητριανοῦ (Sept. 13[1]). — **P** : 3. 2. 1. 4. — Δημητρίου καὶ τῆς γυναικὸς αὐτοῦ Εὐανθίας καὶ Δημητριανοῦ τοῦ υἱοῦ αὐτῶν. — **F** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 3. 4. — **Fa** : Ἡ προσκύνησις κτλ. — 1. 2. 3. 4. — **Fb** : Ἡ προσκύνησις κτλ. — 1. 2. 3. 4. — **B** : 3. 2. 1. — **Ba** : Εἰς τὴν προσκύνησιν τῶν τιμίων ξύλων. — 1. — Τοῦ ἁγίου Κορνηλίου τοῦ ἑκατοντάρχου. Ὃς ἐν τοῖς χρόνοις τῶν ἀποστόλων πρῶτος ἐξ ἐθνῶν πιστεύσας, εἶδεν ἄγγελον ἐν ὁράματι λέγον<τα> αὐτῷ ἃ δεῖ ποιῆσαι αὐτόν. Ὃς παρὰ Πέτρου καὶ Τιμοθέου τὴν προστασίαν τῆς Σκέψεως πόλεως δέχεται. Καὶ εὑρὼν αὐτὴν κατείδωλον, χάριτι Χριστοῦ πάντας ἐβάπτισε καὶ αὐτὸν τὸν ἄρχοντα Δημήτριον πανοικὶ πεπιστευκότα (Sept. 13[1]). — 4. — Μακεδονίου, Θεοδούλου καὶ Τατιανοῦ (Sept. 12[3]). — Καὶ τοῦ ὁσίου Παύλου Νικαίας (Sept. 10[4]). — 3. — **Bb** : Κορνηλίου. — 4 (τοῦ ὁσίου καὶ ὁμολογητοῦ Πέτρου ἐπισκόπου καὶ τῶν σὺν αὐτῷ). — 3. 2. 1. — **T** : 1. — **L** : 1 : Ἡ ὁσία Θεοδώρα ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ζήνωνος κτλ. — Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ὁσίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ. — **O** : 1. 3. 2. 4. — Τοῦ ἁγίου ἱερομάρτυρος Δημητρίου καὶ τῆς γυναικὸς αὐτοῦ Εὐανθίας καὶ Δημητριανοῦ τοῦ υἱοῦ αὐτῶν (Sept. 13[1]). — **G** : 1. 2. — Κορνηλίου τοῦ ἑκατοντάρχου (Sept. 13[1]). — **C** : 1. — **Cb** : 1. — **M** : 1. — Εὐφροσύνου τοῦ μαγείρου. Οὗτος ἐξ Sept. 11.

Sept. 11. ριφεῖσα μετὰ τοῦ ὡς δῆθεν πορνογενοῦς αὐτῷ βρέφους καὶ ἑπτὰ ἔτη σὺν αὐτῷ διαρκέσασα ἐν ἐρημίᾳ καὶ πολλοὺς πειρασμοὺς καὶ μάστιγας ὑπομείνασα παρὰ τοῦ διαβόλου, αὖθις εἰσδέχεται εἰς τὸ μοναστήριον. Καὶ πλείονας [2] τοὺς ἀγῶνας ἐπιδειξαμένη, ὡς μὴ μόνον τοῦ ἁμαρτήματος λυτρωθῆναι, ἀλλὰ καὶ χαρίσματος ἰαμάτων [3] ἀξιωθῆναι, μετ' ὀλίγον τῷ Θεῷ τὸ πνεῦμα παρατίθεται. Ἥτις μετὰ θάνατον διαγνωσθεῖσα, ὅτι γυνὴ ἦν φύσει, πολλὴν ἔκπληξιν ἐνέβαλε τοῖς ἰδοῦσί τε καὶ ἀκούσασι.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μητρὸς Ἴας τῆς ἐν Περσίδι μαρτυρησάσης. Αὕτη ὑπῆρχεν ἀπὸ κάστρου λεγομένου Βιζάδης, ἤθλησεν δὲ ἐπὶ Σαβωρίου [1] τοῦ Περσῶν βασιλέως, πρεσβυτάτην
f. 24. ἄγουσα [2] τὴν | ἡλικίαν. Συνελήφθη γὰρ αἰχμάλωτος ὑπὸ τῶν Περσῶν μετὰ ἐννέα χιλιάδων χριστιανῶν. Παραδοθεῖσα δὲ τοῖς ἀρχιμάγοις διὰ τὸ τὸν Χριστὸν παρρησίᾳ κηρύττειν, ἐμβάλλεται εἰς φυλακήν, ὑπὸ λιμοῦ [3] κατατηκομένη ὅλον ἐνιαυτόν· ἔπειτα ἐκβληθεῖσα καὶ τυφθεῖσα μετὰ ῥάβδων ροΐνων πάλιν ἐμφυλακίζεται μῆνας δεκαπέντε· εἶτα ἐκβάλλεται καὶ δεσμεῖται σχοινίοις λεπτοῖς καὶ τὰ σκέλη [4] καὶ τοὺς μηροὺς καὶ τὰς κνήμας καὶ συσφίγγεται ὑπὸ στύρακος [5]. Εἶτα τύπτεται διὰ λώρων ὠμοβύρσων τάς τε ψύας [6] καὶ τὴν κοιλίαν καὶ μετὰ ταῦτα ξίφει τέμνεται τὴν κεφαλήν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Διοδώρου [1] καὶ Διδύμου. Οἵτινες ὑπῆρχον ἐκ Λαοδικείας [2] τῆς Συρίας, παρὰ δὲ τοῦ κατὰ τὸν τόπον ἄρχοντος συλληφθέντες καὶ παρρησιασάμενοι τὴν εὐσέβειαν, ἐν τῷ ἀφειδῶς μαστίζεσθαι τοῦ βίου τὸ πέρας δέχονται.

4. Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμε καὶ ἡ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Πέτρου μητροπολίτου Νικαίας.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΒ'.

Sept. 12. **1.** Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Αὐτονόμου. Ὃς ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐπίσκοπος γενόμενος Ἰταλίας· διὰ δὲ τὸν κατὰ τῶν χριστιανῶν διωγμὸν καταλιπὼν τὴν Ἰταλίαν, τὴν

— [2] πλείνας Sa. — [3] θαυμάτων Sa.

2. — [1] Σαβωρίου Sa, Σαβορίου S. — [2] ἔχουσα Sa. — [3] λιμοῦ Sa, λοιμοῦ S. — [4] λεπτοῖς τά τε σκέλη Sa. — [5] στύλακος Sa. — [6] ψυὰς S, ψοιάς Sa.

3. — [1] Διοδόρου S. — [2] Λαοδικίας S.

Sept. 11. ἀγροίκων ἀποτεχθεὶς καὶ ἰδιώτης ὤν, μοναστῶν διακονητὴς [1] ἐχρημάτισε, παρορώμενος τὰ [2] πολλὰ καὶ μυκτηριζόμενος, καὶ τῷ μαγειρείῳ προστετηκώς. Ἐν ᾧ δὲ ἦν οὗτος φροντιστηρίῳ, ἱερεὺς τῶν εὐαρεστούντων ἐξελιπάρει τὸν Κύριον, ὑποδειχθῆναι αὐτῷ αἰσθητῶς τὰ τοῖς ἀγαπῶσιν αὐτὸν ἀποκείμενα ἀγαθά· καὶ μιᾷ τῶν νυκτῶν ἐῴκει [3] ἐν παραδείσῳ ἑστάναι, καὶ θάμβει κατενόει τὰ ὁρώμενα. Εἶδε δὲ πρὸς τούτοις καὶ τὸν τῆς μονῆς μάγειρον [4] μέσον ἑστῶτα καὶ ἐν ἀπολαύσει ὄντα τῶν τοῦ παραδείσου [5] ἐκείνων ἀγαθῶν, ᾧ καὶ προσεγγίσας ἠρώτα μαθεῖν, τίς ἄρα ὁ παράδεισος οὗτος καὶ [6] πῶς ἐν τούτῳ [7] εὑρέθη. Καὶ ὅς· « Οὗτός ἐστι, φησί [8], τὸ καταγώγιον τῶν τοῦ Θεοῦ ἐκλεκτῶν, κἀγὼ διὰ τὴν πολλὴν » τούτου ἀγαθότητα ἐνθάδε συνεχωρήθην αὐλίζεσθαι. » Καὶ ὁ ἱερεύς· « Τί δὲ ἐργάζῃ ἐν τούτῳ τῷ παρα- » δείσῳ; » « Τὴν ἐξουσίαν ἔχων πάντων τῶν φαινομένων σοι, ἐνηδύνομαι τῇ τούτων αἰσθήσει » φησὶν ὁ Εὐφρόσυνος. Καὶ ὁ ἱερεύς· « Δύνασαί μοι δοῦναί τι; » Καὶ ὁ Εὐφρόσυνος· « Εἰ βούλει, λήψῃ τῇ τοῦ » Θεοῦ μου ἀγαθότητι. » Τότε ὁ ἱερεὺς δείξας τῇ χειρὶ μῆλα, ἐπεζήτει ἐξ αὐτῶν· καὶ λαβὼν ὁ Εὐφρόσυνος δέδωκε τῷ ἱερεῖ πρὸς τὸ παλλίον, εἰρηκώς· « Ἅπερ [9] ἐζήτησας, λαβὼν κατατρύφησον. » Καὶ παρευθὺ [10] ὡς τὸ ξύλον ἔκρουσε τῆς ἐωθινῆς ὑμνῳδίας, συσταλεὶς ὁ ἱερεὺς ὡς ὄναρ τὸ φανὲν ὑπετόπαζε· πρὸς τὸ παλλίον δὲ ὑφαπλώσας καὶ τὰ μῆλα κατασχών, τῇ ἡδύτητι δὲ [11] τῆς ὀσφρήσεως [12] καταπλαγείς [13], ἀκίνητος ἔμεινεν. Εὑρὼν δὲ τὸν Εὐφρόσυνον ἐν τῇ συνάξει, ὅρκοις αὐτὸν προκατελάμβανεν [14], εἰπεῖν τὴν νύκτα ταύτην ὅπου ἄρα καὶ ἦν. Ὁ δέ· « Συγχώρησον, ἔφη, πάτερ· ἐκεῖσε ἤμην, ὅπου καὶ νῦν με εὗρες. » Καὶ ὁ ἱερεύς· « Διὰ τοῦτό σε ὅρκοις προκατέλαβον, εἰς δήλωσιν τῶν τοῦ Θεοῦ μεγαλείων, καὶ οὐ πειθῇ [15] » εἰπεῖν τὸ ἀληθές; » Τότε ὁ ταπεινόφρων Εὐφρόσυνος· « Ἐν αὐτῷ με τοῦ Θεοῦ τῷ παραδείσῳ, φησί, » κατέλαβες, ἐν ᾧ ἰδεῖν ἐπεζήτεις τὰ τοῖς ἐκλεκτοῖς ἀποκείμενα· καὶ τὴν σὴν ὁσιότητα [16] πληροφορῆσαι » θέλων ὁ Κύριος, δι' ἐμοῦ τοῦ εὐτελοῦς ἐνήργησε τὸ παράδοξον. » Καὶ ὁ ἱερεύς· « Ἆρά γε, πάτερ, καί τι » μοι [17] ἐν τῷ παραδείσῳ αἰτήσαντι δέδωκας; » Καὶ ὁ Εὐφρόσυνος· « Τὰ εὐανθῆ μῆλα, ἃ προσφάτως ἐν » τῇ κλίνῃ σου τέθεικας, ὅμως, πάτερ, συγχώρησον, ὅτι σκώληξ ἐγὼ καὶ οὐκ ἄνθρωπος. » Τότε ὁ ἱερεὺς τὴν ὀπτασίαν τοῖς ἀδελφοῖς διηγησάμενος, πάντας εἰς ἀγωνίαν ἐνέβαλεν, οὐ τοσοῦτον τῷ διηγήματι, ὅσον τῇ τῶν τερπνῶν ἐκείνων μήλων ἰδέᾳ [18], ὡς καὶ μᾶλλον ἐπεκτείνεσθαι πρὸς τὸ βέλτιον [19]. Ὁ δὲ μέγας Εὐφρόσυνος, ὡς ἐκ ψιλοῦ τὰ λαληθέντα ἀνέμαθε, λάθρα ὑπεξελθὼν [20], ἐμάκρυνε φυγαδεύων, ἄγνωστος τὸ παράπαν μέχρι τῆς δεῦρο γενόμενος. Ἐκ δὲ τῆς τῶν μήλων μεταλήψεως πολλοὶ τῶν νοσούντων ἐρρώσθησαν [21]. — 3. — Δημητρίου καὶ Εὐανθίας τῆς αὐτοῦ γυναικὸς καὶ Δημητριανοῦ λιμῷ τ. (Sept. 13[1]). — Σαραπίων, Κρονίδης καὶ Λεόντιος ἐν τῇ θαλάσσῃ τ. (Sept. 13[5]). — Σέλευκος καὶ Οὐαλέριος θηρίοις ἐκδοθέντες τ. — **Mv** : 1. — Εὐφροσύνου. — 3 (Διοδώρου, Διομήδους καὶ Διδύμου). — 2. — **Mr** : 1.

Sept. 12. SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ μνήμη αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλησίον τῶν ἁγίων τεσσαράκοντα. — 5. 3. 4. — **H** : Προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 5. — **P** : 1 (Αὐτο-

[1] διάκονος Mv. — [2] τὰ *om.* Mv. — [3] ἐδόκει Mv. — [4] τὸν Εὐφρόσυνον *add.* Mv. — [5] ἐν Παραδείσῳ Mv. — [6] καὶ *om.* Mv. — [7] ἐνταῦθα Mv. — [8] *om.* Mv. — [9] ὥσπερ Mv. — [10] παρευθὺς Mv. — [11] δὲ *om.* Mv. — [12] ὑσφρήσεως Mv. — [13] κατεπλαγεὶς Mv. — [14] προκαταλάμβανεν Mv. — [15] βούλει Mv. — [16] ἁγιότητα Mv. — [17] ἱερεὺς καὶ τί μοι πάτερ Mv. — [18] θέᾳ καὶ εὐωδίᾳ Mv. ἰδέει M. — [19] τὸν βέλτιον Mv. — [20] ἐπεξελθὼν Mv. — [21] εἰς δόξαν Θεοῦ. ἀμήν *add.* Mv.

Βιθυνῶν καταλαμβάνει [1] καὶ πρόσεισι χωρίῳ τινί, ᾧ τοὔνομα μὲν Σορεοί [2], κεῖται δὲ ἐν δεξιᾷ τοῦ εἰσπλέοντος τῷ τῆς Νικομηδείας κόλπῳ· κἀκεῖσε ξενίζεται παρ' ἀνδρί τινι χριστιανῷ Κορνηλίῳ τὴν κλῆσιν. Χρόνον δὲ συχνὸν προσδιατρίψας αὐτῷ καὶ ναὸν οἰκοδομήσας ἐπὶ τῷ ὀνόματι Μιχαὴλ τοῦ τῶν ἀγγέλων ἀρχηγοῦ, χειροτονεῖ ἐν αὐτῷ τὸν Κορνήλιον διάκονον· εἶθ' οὕτως ἐπὶ τὴν Λυκαόνων καὶ Ἰσαύρων ἀπαίρει διδάξων· καὶ ἐπανελθὼν πάλιν πρὸς Κορνήλιον, τοῦτον εἰς τὸν τῶν ἱερέων [3] ἀνάγει βαθμόν. Ἐπεὶ δὲ καὶ Διοκλητιανὸν [4] πρὸς τὴν Νικομήδους ἥκοντα ἔγνω, ἐπὶ τὸ Μαντίνιον καὶ τὴν Κλαυδιούπολιν αὖθις ἀποπλέει κἀνταῦθα τὸν λόγον τῆς εὐσεβείας διασπείρας, ἐπὶ Σορεοὺς ἀναστρέφει καὶ τὸν Κορνήλιον τελειοῖ τῷ τῆς ἐπισκοπῆς ἀξιώματι, κἀκεῖθεν πάλιν τὴν Ἀσιανὴν [5]
f. 24v. ἐπέρ|χεται χώραν. Ὕστερον δὲ πάντων πρὸς Κορνήλιον ὑποστρέψας καὶ τὴν ὑπ' αὐτὸν [6] ποίμνην ἐπισκεψάμενος, εἰς μανίαν κινήσας τοὺς Ἕλληνας διὰ τὸ πολλοὺς διδάσκειν τὴν εἰς Χριστὸν πίστιν, λίθοις καὶ ξύλοις βληθεὶς ὑπὸ τῶν εἰδωλολατρῶν ἀναιρεῖται ἔνδον τοῦ θυσιαστηρίου τοῦ ναοῦ τοῦ ἀρχιστρατήγου, τὴν θείαν μυσταγωγίαν ἐπιτελῶν.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Κορνούτου [1], ἐπισκόπου γενομένου Ἰκονίου. Οὗτος τῆς αὐτῆς πόλεως ἦν καὶ γέννημα καὶ θρέμμα, πρῶτος ὑπάρχων τοῦ κατ' αὐτὴν χωρίου [2] Σουρσάλου, πολιὸς τὴν τρίχα καὶ τὴν φρόνησιν στερρός. Καταλαβόντων γάρ ποτε τῶν [3] διωκτῶν, αὐτὸς μόνος τῶν ἄλλων φυγόντων ὑπέστη τοῦ ἡγεμόνος Περινίου τὴν ἀπήνειαν· ὑφ' οὗ δεσμηθεὶς πρῶτον τοὺς πόδας διὰ σχοινίων λεπτῶν καὶ συρεὶς κατὰ τὰς ῥύμας τῆς πόλεως καὶ τῷ οἰκείῳ αἵματι πάσας ταύτας [4] φοινίξας καὶ ἰσχυρῶς βασανισθείς, ὕστερον καὶ τὴν κεφαλὴν ἀποτέμνεται [5]. Sept. 12.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μακεδονίου [1], Θεοδούλου καὶ Τατιανοῦ.

4. Καὶ μνήμη τοῦ ὁσίου Δανιὴλ τοῦ ἐν τῷ Θασίῳ.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ἐν Ἀλεξανδρείᾳ. Τούτον οἱ Ἀλεξανδρεῖς ὡς παρρησίᾳ τὸν Χριστὸν κηρύττοντα συλλαβόντες καὶ θυμῷ σατανικῷ ἐκκαυθέντες, ἐστεφάνουν ἀκάνθαις, ἔπαιον κατὰ κόρρης καὶ τῇ πόλει [1] περιήγον δέσμιον· ῥίψαντες δὲ καὶ ἐν [2] τῷ βυθῷ τῆς θαλάσσης, ἐπεὶ ἀνασωθέντα τοῦτον εἶδον θείᾳ προνοίᾳ, κελεύσει τοῦ ἄρχοντος τῷ διὰ ξίφους θανάτῳ τέλειοῦσι.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΓ'.

1. Μνήμη τοῦ ἁγίου Κορνηλίου τοῦ ἑκατοντάρχου καὶ τῶν δι' αὐτοῦ τῇ πίστει προσελθόντων, Δημητρίου καὶ τῆς γυναικὸς αὐτοῦ Εὐανθίας καὶ Δημητριανοῦ τοῦ υἱοῦ αὐτῶν. Ὁ ἅγιος Κορ- Sept. 13.

1. — [1] καταλαμβάνει χώραν Sa. — [2] Σορεοῖ S, Συρεοὶ Sa, Σορεοὶ Vita S. Autonomi, *n.* 2, Act. SS., *Sept. IV, p.* 17. — [3] ἱερῶν Sa. — [4] Διοκλητιανὸς Sa. — [5] Ἀσιανῶν Sa, Vita S. Autonomi, *n.* 3. — [6] αὐτῶν Sa.

2. — [1] Κορονάτου Sa, Κουρνούτου Ba. — [2] χωρίου Sa. χώραν S. — [3] τῶν *om.* Sa. — [4] ταύτας πάσας Sa. — [5] *add.* Sa : Τελεῖται κτλ. *infra inter* Synaxaria selecta.

3. — [1] Μακεδωνίου S.

5. — [1] τὴν πόλιν Sa. — [2] ἐν *om.* Sa.

νόμου ἐπισκόπου Πρεναίστου). 2. 5. Sequitur : Σαββάτῳ πρὸ τῆς ὑψώσεως ... Κυριακῇ πρὸ τῆς ὑψώσεως. — **F** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 5. 3. — Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Δημητρίου καὶ τῆς γυναικὸς αὐτοῦ Εὐανθείας καὶ Δημητριανοῦ τοῦ υἱοῦ αὐτῶν (Sept. 13[1]). — 4. — **Fa** : Ἡ προσκύνησις κτλ. — 1. 2. 5. 3 (... Τατοιανοῦ). — 4. — **Fb** : Ἡ προσκύνησις κτλ. — 1. 2. 5. 3. — Δημητρίου, Εὐανθίας, Δημητριανοῦ. — 4. — **B** : 1. 2. 5. — **Ba** : Εἰς τὴν προσκύνησιν τῶν τιμίων ξύλων. — 1. 2. — Ἀνδρονίκου τοῦ ἐν τῇ Ἀτρώᾳ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Νικηφόρου καὶ Σταυρακίου τῶν βασιλέων, ἱεραρχοῦντος Ταρασίου Κωνσταντινουπόλεως, ὥρμητο δὲ ἐκ χώρας Ἀσίας κώμης λεγομένης Ἐλαίας, Κοσμᾶ καὶ Ἄννης ὑπάρχων γέννημα. Ὃς ἐξ αὐτῆς νηδύος τῷ Θεῷ ἀνετέθη, νηστείᾳ καὶ συντόνῳ προσευχῇ προσκαρτερῶν καὶ θαύματα πολλὰ ποιῶν, ἀβρόχοις ποτὲ τὸν Ἅλυν διαβὰς ποταμόν, πάσης βρώσεως παχυτέρας ἀπεχόμενος, λαχάνοις καὶ ὀσπρίοις μόνοις ἀρκούμενος καὶ μικροῦ ἄρτου καὶ ὕδατος· σιδήροις γὰρ τὸ σῶμα βαρούμενος καὶ σκληραγωγίᾳ ἑαυτὸν ἐκτήξας [1] οὕτω πρὸς ὃν ἐπόθει Κύριον ἐν εἰρήνῃ μετετέθη (Cf. Sept. 13[4]). — **Bb** : 1. 2. — τῆς ἁγίας μάρτυρος Θεοδώρας (Cf. Sept. 11[1]). — **T** : 1. — **L** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2 (Κορονάτου). — **O** : 1. 2. 5. — **G** : 1. 2. 5. 3. — **C** : 1, mutil. — **Cb** : 1. 2 (prius Κουρουνάτου dein Κουρνάτος). — 5 : Θεοδώρου τοῦ ἐν Ἀλεξανδρείᾳ. Τοῦτον τὸν ἁγιώτατον μάρτυρα Θεόδωρον χριστιανὸν ὄντα καὶ θεοσεβῆ, εὐλαβῆ καὶ φοβούμενον τὸν Θεὸν καὶ παρρησίᾳ κηρύττοντα [2] τὸν Χριστὸν καὶ Θεὸν ὁμολογοῦντα τοῦ παντὸς ὁ τῶν Ἀλεξανδρέων δῆμος εἰδωλολατρεύσαντες συναχθέντες ἐκράτησαν. Καὶ πρῶτον μὲν ἐτιμωρήσαντο ἰσχυρῶς, ἔπειτα στέφανον ἀκάνθινον ποιήσαντες, περιέθηκαν αὐτοῦ τῇ κεφαλῇ [3] καὶ ἔτυπτον μετὰ ῥαβδίων καὶ εἰς τὴν πόλιν περιήγον δέσμιον χλευάζοντες καὶ γελῶντες. Μετὰ τοῦτο ῥίπτεται ἐν τῇ θαλάσσῃ· αὖρα δὲ γαληνὴ τοῦτον ἐπὶ τῆς ξηρᾶς σῶον διέσωσεν. Εἶτα κρατηθεὶς καὶ πάλιν δεσμευθεὶς παρέστη τῷ ἄρχοντι καὶ ἐτιμωρήθη παρ' αὐτοῦ ἰσχυρῶς· εἶτα ἀποτέμνεται τὴν ἁγίαν αὐτοῦ κεφαλὴν δοξάζων τὸν Θεὸν καὶ εὐχαριστῶν τῷ ὀνόματι αὐτοῦ μέχρι τῆς τελευταίας πνοῆς. Ἐτάφη παρὰ πιστῶν καὶ εὐλαβῶν ἀνδρῶν ἐν αὐτῇ τῇ πόλει τῶν Ἀλεξανδρέων. — **M** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 2. 5. — Ἰουλιανοῦ τοῦ ἐν Γαλατίᾳ (Sept. 13[3]). — 3. 4. — Ὁ ἅγιος Ὠκεανὸς π. τ. — **Mv** : 1. 2. 5. — Ἰουλιανοῦ. — 3. 4. — Ὠκεανός. — **Mr** : 1. Sept. 12.

SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμε καὶ ἡ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Πέτρου ἐπισκόπου Νικαίας (Sept. 11[4]). — 2. 3. 4. 5. 6. 7. — **H** : Προσκύνησις τῶν Sept. 13.

[1] ἐκτίξας Ba. — [2] κηρύττων Cb. — [3] τὴν κεφαλὴν Cb.

Sept. 13. νήλιος ἐν τοῖς τῶν ἀποστόλων χρόνοις ἦν [1] καὶ βίον ἀνεπίληπτον μετερχόμενος, πρῶτος ἐξ ἐθνῶν ἐπίστευσε τῷ Χριστῷ· εἶδε [2] γὰρ ἄγγελον προτρεπόμενον αὐτῷ τὸν ἀπόστολον Πέτρον μετακαλέσασθαι καὶ παρ' αὐτοῦ ἀκοῦσαι ἃ δεῖ· ὃς καὶ
f. 25. μετακληθεὶς καὶ παραγενόμενος πρὸς αὐτὸν | κατήχησε καὶ ἐβάπτισε καὶ τὴν προστασίαν τῆς Σκεψέων [3] πόλεως ἐνεχείρισεν· ἐν ᾗ ὑπῆρχε Δημήτριός τις φιλόσοφος, μέγα κατὰ τῆς τῶν [4] χριστιανῶν πίστεως φρυαττόμενος. Ὃ καὶ παραστὰς Κορνήλιος καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, ἀλλὰ καὶ αὐτὰ καὶ τὸν αὐτῶν ναὸν διὰ προσευχῆς καταβαλών, τῆς πόλεως ἤδη προκατασεισθείσης ἁπάσης καὶ τῆς γυναικὸς τοῦ Δημητρίου Εὐανθίας καὶ τοῦ υἱοῦ Δημητριανοῦ ἐναποληφθέντων ἔνδον τῶν τοῦ ναοῦ ἐρειπιώσεων [5], ἀναρτᾶται ἔνδον τῆς φυλακῆς χεῖρας ὁμοῦ καὶ πόδας δεσμηθείς· ἐπεὶ δὲ μεμαθήκει Δημήτριος, ὅτι καὶ ἡ γυνὴ καὶ ὁ υἱὸς συγκατεχώσθησαν τῇ καταστροφῇ τοῦ ναοῦ καὶ ἀνακαλοῦνται κάτωθεν τὸν Θεὸν τῶν χριστιανῶν καὶ τὸν θεράποντα αὐτοῦ Κορνήλιον, δρομαῖος παρὰ τῇ φυλακῇ ἐλθὼν καὶ καταλαβὼν τὸν ἅγιον λυθέντα ὑπὸ ἀγγέλου καὶ τούτου τοῖς ποσὶ προσπεσὼν καὶ ὑποσχεθεὶς τὸ βαπτισθῆναι πανοικί, ἐὰν ἀπολάβῃ [6] ζῶντας τήν τε γυναῖκα [7] καὶ τὸν υἱὸν διὰ προσευχῆς αὐτοῦ, εὐθὺς τούτους ἀβλαβεῖς ἐκ τῆς γῆς ἀναδοθέντας ἰδὼν προσέρχεται τῷ Κορνηλίῳ καὶ τὰς ὑποσχέσεις ἀποπληροῖ, τῷ Χριστῷ προσαχθεὶς δι' αὐτοῦ μετὰ πάντων τῶν ὑπ' αὐτόν [8].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μακροβίου, Γορδιανοῦ, Ἡλεῖ [1], Ζωτικοῦ, Λουκιανοῦ καὶ Οὐαλεριανοῦ. Οὗτοι ἐμαρτύρησαν ἐπὶ Λικινίου [2] τοῦ βασιλέως. Ὑπῆρχε δὲ ὁ Μακρόβιος Καππαδόκης, ὁ δὲ Γορδιανὸς ἐκ τῆς τῶν Παφλαγόνων ἐπαρχίας [3], συνεξανθοῦσαν ἔχοντες τῷ νέῳ τῆς ἡλικίας τὴν φρόνησιν καὶ ἐπικοσμούμενοι [4] τῇ κατὰ Χριστὸν εὐσεβείᾳ, τεταγμένοι δὲ ἐν ὑπηρεσίᾳ τῆς τοῦ βασιλέως τραπέζης· οὗς πολλὰ ἐκπειράσας ὁ Λικίνιος [5], ἐπείπερ οὐκ ἴσχυσε πεῖσαι τὴν εἰς Χριστὸν ἀρνήσασθαι πίστιν, ὑπερορίζει ἐν τῇ Σκυθίᾳ, συμβουλὰς ἐπὶ τοῦτο [6] παρὰ τῶν οἰκείων δεξάμενος. Ἤλπισε γὰρ τῷ χρόνῳ καὶ τῇ ταλαιπωρίᾳ μεταπεσεῖν αὐτοὺς εἰς ἀσέβειαν. Οὗτοι δὲ γενόμενοι κατὰ τὴν Τομέων πόλιν, ἐναθλοῦντας εὗρον τοὺς ἁγίους Ζωτικὸν καὶ Λουκιανὸν καὶ | Ἡλεῖ [7] διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν f. 25v.
παρὰ Μαξίμῳ τῷ ἡγεμόνι. Ὧν ὁ μὲν Ζωτικὸς καὶ

1. — [1] ἦν χρόνοις Sa. — [2] εἶδε Sa, ἴδε S. — [3] Σκεψέων S, Σκέψεων Sa, Σκεψαίων Vita S. Cornelii centurionis, *n. 4*, P.G. *CXIV, p. 1297*; Σκέψις *vocatur civitas apud* Hieroclem, Burckhardt, *p. 19, alias* Σκῆψις. *Cf.* Strabo, *etc.* — [4] τῶν *om.* Sa. — [5] ἐριπόσεων S, ἐρειπιώ|ων Sa. — [6] ἀπολάβοι Sa. — [7] τήν τε Sa, τῇ τε γυναικὶ S. — [8] *corr. prius* αὐτῶν Sa.

2. — [1] Ἡλεὶ Sa. — [2] Λικιννίου S. — [3] Καππαδοκῶν ἐπαρχείας S, Παφλαγόνων ἐπ. Sa, ἐκ τῆς τῶν Παφλαγόνων χώρας *cod. Paris. 1560*, ὁ δὲ Γορδιανὸς ἀπὸ Παφλαγονίας B, Ba. — [4] ἐπικουσμούμενοι S, ἐπισκομούμενοι Sa. — [5] Λικίννιος S. — [6] τούτω Sa. — [7] Ἡλεί Sa.

Sept. 13. τιμίων ξύλων. — 2 (Ἡλεῖ, Ζωτικοῦ, Λουκιανοῦ καὶ Οὐαλεριανοῦ). — **P** : 2 (deest Ἡλεῖ). — 3. 6 : Ὀλυμπιοδώρας τῆς μητρὸς αὐτοῦ [Ἰουλιανοῦ]. — **F** : 7. — Καὶ ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1 (Κορνηλίου tantum). — 2. 3. 6. Sequitur : Σαββάτῳ πρὸ τῆς ὑψώσεως... Κυριακῇ πρὸ τῆς ὑψώσεως... Τῇ παραμονῇ τῆς ὑψώσεως. — **Fa** : 7. — Ἡ προσκύνησις κτλ. — 1. 2. 3. 6. — **Fb** : 7. — Ἡ προσκύνησις κτλ. — 1. 2. 3. 6. — **B** : 2. 3. — **Ba** : Εἰς τὴν προσκύνησιν κτλ. — 2. 3. 7 (= S). — 5 (= S). Sequitur Σαββάτῳ πρὸ τῆς ὑψώσεως... Κυριακῇ πρὸ τῆς ὑψώσεως. Post 3, manus recentior margini inscripsit : Τῇ αὐτῇ ἡμέρᾳ ἤτοι τῇ ιγ' αὐτοῦ ζήτει τὸ συναξάριον τοῦ ἁγίου Κορνηλίου τῇ η' ὀκτωβρίου μηνὸς μετὰ τοῦ ἁγίου Ἀρτεμίου καὶ ἀναγνωσθήτω σήμερον. — **Bb** : Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀνδρωνίκου τοῦ ἐν τῇ Ἀτρώᾳ (cf. 4). — 2. 3. — **T** : 7. 1. — Προεόρτια τοῦ σταυροῦ. — **L** : 7. — **O** : 7. 1 (Κορνηλίου). — 2. — **G** : 2. 4. 7. 5. — **C** : deest. — **Cb** : 2. — Μακεδονίου, Θεοδούλου καὶ Τατιανοῦ μαρτυρήσαντος ἐν Μυροπόλει [1] Φρυγίας. Οὗτοι ὑπῆρχον ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου βασανιζόμενοι ὑπὸ τῶν ἑλλήνων καὶ πολλὰ δεινὰ ὑπομένοντες. <Οἱ μέντοι κατὰ τῆς ἐπαρχίας ἄρχοντες καιρὸν οἰκείου κέρδους τὴν [2]> τοῦ βασιλέως <θρησκείαν νομίσαντες, πέρα τῶν βασιλικῶν προσταγμάτων τοὺς χριστιανοὺς κακῶς διετίθεσαν [3]>, χρήματα μὲν [4] εἰσπράττοντες [5] πλείονα ἢ ὅσον ἐχρῆν, ἔστι δὲ ὅτε καὶ σωματικὰς τιμωρίας ἐπάγοντες. Ταῦτα μανθάνων ὁ βασιλεὺς παρέβλεπε καὶ τοῖς χριστιανοῖς περὶ τούτου [6] προσελθοῦσιν [7] αὐτῷ· « Ὑμέτερόν ἐστιν, ἔλεγεν αὐτοῖς, πάσχοντας κακῶς ὑπομένειν. Τοῦτο » γὰρ τοῦ ὑμετέρου [8] Θεοῦ τὸ παράγγελμα. » Ἐν γοῦν Μυροπόλει τῆς Φρυγίας ἄρχων ἦν Ἀμάχιος· τὸ δὲ [9] ἱερὸν προστάξας ἀνοιγῆναι, ἐκκαθαίρεσθαι τὸν ἐκ τοῦ χρόνου συναχθέντα ῥύπον ἐκέλευσε, καὶ τὰ ἐν αὐτῷ ἀγάλματα ἐπιμελείας ἠξίου. Τούτου γινομένου, σφόδρα τοὺς χριστιανοὺς ἐλύπει. Μακεδόνιος δέ τις καὶ Θεόδουλος καὶ Τατιανὸς λυπηθέντες καὶ ζηλώσαντες, νυκτὸς εἰς τὸν ναὸν εἰσπηδήσαντες, συντρίβουσι τὰ ἀγάλματα. Τοῦ δὲ ἡγεμόνος ἐπὶ τῷ γεγονότι σφόδρα χαλεπήναντος καὶ πολλοὺς τῶν κατὰ τὴν πόλιν ἀναιτίους [10] ἀναιρεῖσθαι σπουδάζοντος, ἐπιδέδωκαν ἑαυτοὺς οἱ τοῦτο πράξαντες, ἵνα μὴ ἀντ' αὐτῶν ἕτεροι ἀποθάνωσιν. Τούτους λαβὼν ὁ ἡγεμὼν ὡς ὑπὲρ ἀδικήματος, τοῦ ὑπ' αὐτῶν γενομένου, διὰ θυσίας ἀπολογεῖσθαι ἐκέλευσε. Τῶν δὲ μὴ πειθομένων, ἐσχάρας ἐπιθεὶς καὶ πῦρ ταύταις ὑποτεθῆναι [11] κελεύσας, οὕτως ἐτιμώρει [12]. Οἱ δὲ πρὸς τὸν ἡγεμόνα ἔλεγον· « Εἰ ἐπεθύμησας ὀπτῶν, ὦ » Ἀμάχιε, κρεῶν ἀνθρωπίνων γεύσασθαι [13], στρέψον ἡμᾶς καὶ εἰς τὰς ἑτέρας πλευράς, ἵνα μὴ εἰς τὴν

[1] ἐν Μητρῷ τῇ πόλει τῆς Φρυγίας, ἐν Μηρῷ πόλει τῆς ἐπαρχίας Φρυγίας *apud* Socratem, H. E. *III, 15*, ἐν Μίσῳ *al.* Μύρῳ *apud* Sozomenum, H. E. *V, 11*. — [2] οἱ - τὴν *supplevi ex* Socrate, *III. 14*. — [3] *iterum supplevi ex* Socrate, *l. c.*; *locus male a librario habitus ita in codice legitur* πολλὰ δεινὰ ὑπομένοντες τῷ θάρσει τοῦ βασιλέως χρήματα κτλ. — [4] μὲν Socr., δὲ Cb. — [5] εἰσπλάττοντες Cb. — [6] τούτου Socr., τούτοις Cb. — [7] προσελθῶσιν Cb. — [8] ἡμετέρου Cb. — [9] τὸ τῆδε Socr. — [10] ἀναιτίων Socr. — [11] ἐπιτεθῆναι Socr. — [12] ἀπόλλυσιν Socr. — [13] ἀπογεύσασθαι Cb.

Λουκιανὸς μετὰ πολλὰς βασάνους ξίφει ἐτελειώθησαν. Αὐτοὶ δὲ μετὰ τοῦ Ἡλεῖ [8] εἰς φυλακὴν ἐνεβλήθησαν καὶ μετὰ πολλὰς τιμωρίας ὁ μὲν Ἡλεῖ τὴν κεφαλὴν ἀπετμήθη, Μακρόβιος δὲ καὶ Γορδιανὸς διὰ πυρὸς τὸ τέλος ἐδέξαντο. Ὁ δὲ Οὐαλεριανὸς [9] ἐπὶ τῷ τάφῳ τῶν ἁγίων θρηνῶν ἀπέδωκε τὴν ψυχήν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου Ἰουλιανοῦ τοῦ πρεσβυτέρου. Οὗτος ὑπῆρχεν ἐγγὺς Ἀγκύρας τῆς Γαλατείας [1] ἀπὸ χωρίου λεγομένου Κριντεοῦς, ἱερεὺς τὴν ἀξίαν, γηραιὸς τὸ εἶδος, πάνυ εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν. Ἐπὶ δὲ Λικινίου [2] τοῦ βασιλέως, διωγμοῦ καταλαβόντος τοὺς χριστιανοὺς [3] μεγάλου καὶ τὴν χώραν τῶν Γαλατῶν, ἔφυγε καὶ αὐτὸς εἰς ὄρος δασὺ μετὰ ἑτέρων σαράκοντα [4] δύο καὶ ἐκρύπτετο εἰς σπήλαιον. Μιᾷ δὲ τῶν ἡμερῶν ἐξελθὼν ἀντλῆσαι ὕδωρ καὶ ἀπάξαι τοῖς σὺν αὐτῷ (τοῦτο γὰρ ἐποίει ὁ καθεὶς πρὸς ἡμέραν ἐκ συνθήκης) καὶ θεαθεὶς ὑπό τινων ἑλλήνων θυσίας ἐπιτελούντων τῇ θεᾷ αὐτῶν <Ἑκάτῃ [5]> εἰς ναὸν ᾠκοδομημένον πλησίον τοῦ ὄρους καὶ τοῦ σπηλαίου, ἐκρατήθη καὶ ἀπήχθη τῷ ἄρχοντι. Ἐρωτηθεὶς δὲ καὶ περὶ [6] τῶν λοιπῶν καὶ μὴ ὁμολογήσας, ὅσοι τέ εἰσι καὶ ὅπου [7] κρύπτονται, δέχεται κατὰ τῆς κεφαλῆς κασσίδα [8] πεπυρακτωμένην, καὶ μετὰ τοῦτο ταύτην τελείως ἀποτέμνεται. Sept. 13.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ ἐν τῇ Ἀτρώᾳ. Ὃς ἦν ἐπὶ Νικηφόρου καὶ Σταυρακίου τῶν βασιλέων, ἱεραρχοῦντος τοῦ ἐν ἁγίοις Ταρασίου [1]. Ἐξ αὐτῆς δὲ νηδύος Θεῷ καθιερωθεὶς νηστείᾳ τε καὶ συντόνῳ προσευχῇ σχολάζων, μεγίστων θαυμάτων γέγονεν αὐτουργός· πάσης γὰρ βρώσεως παχυτέρας ἀπεχόμενος καὶ λαχάνοις βραχέσι μόνοις ἀρκούμενος, τῇ ἀτροφίᾳ σχεδὸν τοῖς ἀγγέλοις ἀφωμοιώθη· ὅθεν καὶ τὸν ποταμὸν Ἅλιν [2] ἀβρόχως διῆλθεν. Εἰς τοσοῦτον δὲ τὴν σάρκα τῇ τοῦ σιδήρου βαρύτητι κατεδάμασεν, ὡς σκιὰν μόνην αὐτὸν ὑπολαμβάνειν τοὺς θεωμένους, οὐκ ἄνθρωπον σῶμα φοροῦντα πήλινον· οὕτως δὲ Θεῷ εὐα|ρεστήσας καὶ τὴν f. 26.
σάρκα καθυποτάξας τῷ πνεύματι, πρὸς Κύριον μεθίσταται.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Κρονίδου [1], Λέοντος καὶ τῶν σὺν αὐτοῖς.

6. Καὶ τῆς ἁγίας μάρτυρος Ὀλυμπιοδώρας.

7. Κατὰ ταύτην τὴν ἡμέραν ἐπιτελεῖται καὶ ἡ μνήμη τῶν ἐγκαινίων τῆς ἁγίας Ἀναστάσεως.

— [8] Ἡλεὶ Sa. — [9] Οὐαλλεριανὸς S. Sa.

3. — [1] Γαλατίας Sa. — [2] Λικιννίου S. — [3] τοὺς χριστιανοὺς Sa, τῶν χριστιανῶν S. — [4] τεσσαράκοντα Sa. — [5] Ἑκάτῃ Sa, *om.* S, τῆς θεᾶς τῶν Ἑλλήνων τῆς λεγομένης Ἑκάτης B, Ba. — [6] παρὰ Sa. — [7] ὅποι Sa. — [8] κατὰ κεφαλῆς κασίδα Sa.

4. — [1] ἐκ χώρας Ἀσίας ἐκ κώμης καλουμένης Ἐλαίας Κοσμᾶ καὶ Ἄννης υἱὸς *add.* Sa. Οὗτος ὥρμητο ἐκ χώρας Ἀσίας κώμης λεγωμένης Ἐλαίας Κοσμᾶ καὶ Ἄννης ὑπάρχων γέννημα Fa. — [2] Ἅλιν S. Sa, Ἄλυς *scribi solet nomen fluminis. Cf.* Pape-Benseler, *s. v.*

5. — [1] Κορνίδου Sa.

» γεῦσιν ἡμίοπτοι φανῶμέν σοι. » Καὶ ταῦτα εἰπόντες καὶ εὐχαριστήσαντες τῷ Θεῷ ἀπέδωκαν τὰς ψυχάς Sept. 13.
(Sept. 12[3]). — 3 : Ἰουλιανοῦ τοῦ πρεσβυτέρου Ἀγκύρας. Ἐπὶ Λικινίου [14] τοῦ βασιλέως ὑπῆρχε διωγμὸς κατὰ τῶν χριστιανῶν μέγας. Ἦν δὲ ἐγγὺς Ἀγκύρας τῆς Γαλατίας πρεσβύτερος γηραιός, εὐλαβὴς καὶ φοβούμενος τὸν Θεὸν ὀνόματι Ἰουλιανός. Ὅστις διὰ τὸν διωγμὸν μετὰ ἑτέρων σαράκοντα δύο μαρτύρων ἔφυγεν εἰς ὄρος δασὺ καὶ σπήλαιον κρυπτόν, καὶ κατεκρύπτοντο. Ὑπάρχοντος [15] δὲ πλησίον τοῦ ὄρους καὶ τοῦ σπηλαίου εἰδωλι<κ>οῦ ναοῦ τῆς θεᾶς τῶν ἑλλήνων, ἥτις ἐλέγετο Ἑκάτη, καὶ τοῦ [16] τῆς Ἀγκύρας ἄρχοντος ἀπελθόντος ἐκεῖσε τοῦ θῦσαι τῇ Ἑκάτῃ, ἀνηρευνῶντο οἱ ἅγιοι τοῦ κρατηθῆναι. Ἐξήρχοντο δὲ καθ' ἡμέραν εἷς εἷς ἐκ τῶν ἁγίων καὶ ἐλάμβανον ὕδωρ ἐκ τῆς πλησίον πηγῆς καὶ ἐπότιζον τοὺς λοιπούς. Ἔλαχε δὲ ἐν μιᾷ τῶν ἡμερῶν καὶ τὸν ἅγιον <Ἰουλιανὸν [17]> ἀπελθεῖν καὶ γεμίσαι ὕδωρ. Ἰδόντες αὐτόν τινες τῶν ἑλλήνων καὶ κρατήσαντες, δήσαντες ἀπήγαγον τῷ ἄρχοντι. Καὶ πρῶτον μὲν ἐρωτηθεὶς περὶ τῶν λοιπῶν καὶ μὴ ὁμολογήσας, περιτίθεται τὴν κεφαλὴν αὐτοῦ κασσίδα πεπυρωμένην· ἔπειτα τιμωρηθεὶς ἰσχυρῶς ἀποκεφαλίζεται καὶ θάπτεται πλησίον τῆς πηγῆς. — 5 : Ἱερωνίδου, Λεοντίου, Σαραπίωνος, Σελεύκου, Οὐαλεριανοῦ [18] καὶ Στράτωνος. Οὗτοι ὑπῆρχον ἐπὶ βασιλέως Μαξιμιανοῦ ἐν Ἀλεξανδρείᾳ· ἐν ᾗ καὶ κρατηθέντες καὶ καταναγκασθέντες παρὰ τοῦ ἡγεμόνος ἀρνήσασθαι τὸν Χριστὸν καὶ προσκυνῆσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθέντες, ἐν τῇ θαλάσσῃ ῥιφέντες [19] τὸ τέλος ἐδέξαντο. Ἐν Γαλατίᾳ δὲ Σέλευκος καὶ Οὐαλεριανὸς [20] πολλὰς πληγὰς ὑπομείναντες καὶ ἐν οὐδεμιᾷ αὐτῶν σκυθρωπάσαντες, μήτε τοῦ Χριστοῦ τῆς ὁμολογίας ἀποστάντες, θηρίοις τελευταῖον παρεδόθησαν καὶ ὑπ' ἐκείνων καταβρωθέντες, πρὸς τὸν ποθούμενον Κύριον ἐξεδήμησαν. Ὁ δὲ τῆς Βιθυνίας [21] ἄρχων κατὰ τὸν αὐτὸν καιρὸν καὶ τὴν αὐτὴν ἡμέραν, καθ' ὃν μὲν ἐν Ἀλεξανδρείᾳ ἡ τριὰς τῶν μαρτύρων, ἐν Γαλατίᾳ δὲ ἡ δυὰς ἐνήθλει, κατὰ τοῦ ἁγίου Στράτωνος [22]. Ὃν μὴ δυνηθεὶς πεῖσαι ἀρνήσασθαι τὸν Χριστὸν τιμωρίαν [23] ὑπενόει ξένην τινὰ καὶ ἀπάνθρωπον. Δένδρα γὰρ δύο πλησίον ἀλλήλων ἱστάμενα ἐκ περινοίας [24] κάμψας τινὸς καὶ τοῦ ἁγίου τὴν δεξιὰν χεῖρα σὺν τῷ δεξιῷ ποδὶ ἑνὶ φυτῷ προσδήσας, τὴν δὲ ἑτέραν σὺν τῷ ἑτέρῳ ποδὶ καταδεσμήσας, τῷ ἑτέρῳ ἀφίησι τὰ φυτὰ τῷ φυσικῷ κινήματι ὀρθωθῆναι. Καὶ οὕτω τοῦ ἁγίου διαμερισάμενος σῶμα, τὴν μακαρίαν αὐτοῦ ψυχὴν προεπέμψατο ταῖς χερσὶ Χριστοῦ τοῦ Θεοῦ. — **M** : Ἡ προσκύνησις τῶν τιμίων ξύλων. — 1. 5 (Κρονίδους, Λεοντίου, Σεραπίωνος, Στράτωνος καὶ Λεύκου). — 2. 7. 4. — **Mv** : 7. 1. 5 (Κρονίδους κτλ. καὶ Σελεύκου). — 2. — **Mr** : 7. 1.

— [14] Λικιννίου Cb. — [15] ὑπαρχόντων Cb. — [16] τοὺς Cb. — [17] Ἰουλιανὸν *om.* Cb. — [18] Οὐαλλεριανοῦ Cb. — [19] ῥυφέντας Cb. — [20] Οὐαλλέριος Cb. — [21] Βυθινίας Cb. — [22] *verbum excidisse patet; supple v. c.* ἐλύττα. — [23] τιμωρία Cb. — [24] ἐκ περινίας Cb.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΔ'.

Sept. 14. **1.** Ἡ τοῦ σεπτεμβρίου τεσσαρεσκαιδεκάτη τήν τε [1] εὕρεσιν καὶ ὕψωσιν τῶν τιμίων ξύλων ἑορτάζειν ἡμῖν [2] προτρέπεται ἐξ αἰτίας τοιαύτης. Κωνσταντῖνος ὁ μέγας καὶ πρῶτος ἐν χριστιανοῖς βασιλεὺς κεκίνηκέ ποτε πόλεμον, ὡς μέν τινες λέγουσι τῶν ἱστοριογράφων, ἐν τῇ Ῥώμῃ κατὰ τοῦ [3] Μαγνεντίου πρὸ τοῦ κρατῆσαι τῆς βασιλείας· ὡς δὲ ἕτεροι, ὅτι εἰς τὸν Δάνουβιν [4] ποταμὸν κατὰ τῶν Σκυθῶν. Ἰδὼν δὲ τὸν στρατὸν τῶν πολεμίων πολύν, τὸν δὲ ἴδιον κατὰ πολὺ ἐλάττονα, εἰς λύπην καὶ ἀπορίαν καταπέπτωκεν. Εἶτα ἐν τῇ νυκτὶ ἀτενίσας ἐν τῷ οὐρανῷ ὁρᾷ τὸν τίμιον σταυρὸν καὶ γραφὴν δι' ἀστέρων δηλοῦσαν· « Κωνσταντῖνε, ἐν τούτῳ » νίκα ». Ποιήσας οὖν ἔκτοτε ὁμοίωμα τοῦ θεαθέντος σταυροῦ καὶ μετὰ τοῦτο εἰς τὰς παρατάξεις προπορευόμενος, νικᾷ κατὰ κράτος τοὺς ἐχθρούς· καὶ ἐγκρατὴς πάσης τῆς οἰκουμένης γενόμενος [5] καὶ μέγας βασιλεὺς παρὰ πάντων ἀναγορευόμενος ἐν ἔτει εἰκοστῷ τῆς βασιλείας αὐτοῦ μαθὼν περὶ τῆς μητρὸς αὐτοῦ, ὅποι διάγοι [6], καὶ ταύτην μετὰ τιμῆς βασιλικῆς ἐπαναγαγὼν καὶ βασιλικῷ διαδήματι στέψας καὶ μετ' αὐτοῦ διάγειν καὶ συμβασιλεύειν παρακελευσάμενος [7], τῷ θείῳ βαπτίσματι συμφωτισθεῖσαν· καὶ τὰ μετὰ τοῦ σταυροῦ αὐτῷ προσγινόμενα τρόπαια ταύτῃ διηγησάμενος καὶ πρὸς ἔρωτα διεγείρας τῆς τιμῆς τοῦ τροπαιοφόρου σταυροῦ, ἔπεισε ταύτην μηδενὸς ἄλλου φροντίζειν ἢ τῆς τούτου ἀληθοῦς ἐπικτήσεως. Τοίνυν καὶ ἐν μιᾷ τῶν νυκτῶν καθεύδουσα [8] ὁρᾷ καθ' ὕπνους ὀπτασίαν τινὰ θείαν, κελεύουσαν αὐτῇ καταλαβεῖν τὰ Ἱεροσόλυμα καὶ τοὺς καταχωσθέντας [9] θείους τόπους εἰς φῶς ἀγαγεῖν ζήτησίν τε ποιήσασθαι τοῦ σεβασμίου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μνήματος, | χώμασι πλείστοις καὶ εἰδωλικοῦ ναοῦ f. 26'.
ἀνεγέρσει παρὰ τῶν ἑλλήνων ἀποκρυβέντος καὶ τοῦ ἐνδόξου αὐτοῦ σταυροῦ καὶ ζωοποιοῦ [10], ἡ δὲ ἀφυπνισθεῖσα καὶ τὴν ὀπτασίαν τῷ αὐτῆς [11] παιδὶ καὶ βασιλεῖ διηγησαμένη, ἐξαιτεῖται τὰ κελευσθέντα ἀποπληρῶσαι· διὸ καὶ ἀποστέλλεται παρ' αὐτοῦ ἅμα στρατοπέδῳ πολλῷ εἰς Ἱεροσόλυμα κἀκεῖσε φθάσασα καὶ τοὺς Ἰουδαίους κρατήσασα καὶ κολακείαις καὶ ἀπειλαῖς καὶ αἰκίαις ὑποβαλοῦσα [12], εὗρε τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, διακριθέντα τῇ ἐνεργείᾳ τῆς ζωοποιοῦ δυνάμεως τοῦ προκομιζομένου νεκροῦ, σὺν τοῖς λοιποῖς συμβόλοις τοῦ ἀχράντου πάθους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀποκαλυφθέντος περὶ τούτων καὶ Μακαρίου τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων καὶ τὸν τόπον, ἐν ᾧ ἐκρύπτοντο [13], δηλώσαντος· καὶ εὑροῦσα ἐκέλευσεν ὑψωθῆναι ἐπὶ τῆς ἁγίας ἐκκλησίας, ὡς ἂν κατίδωσι τοῦτον πάντες οἱ χριστιανοί. Ἐπὶ τούτοις δὲ χαρὰν μεγάλην δεξαμένη ἡ ἀοίδιμος βασίλισσα Ἑλένη καὶ θεσπίσασα ἐκκλησίας γενέσθαι ἐν τῷ ζωοποιῷ μνήματι καὶ ἐν τῷ ἁγίῳ Γολγοθᾷ καὶ ἐν τῇ Βηθλεὲμ ἐν τῷ σπηλαίῳ καὶ ἐν τῷ ὄρει τῶν ἐλαιῶν, καὶ ἄλλα πάμπολλα [14] ἀγαθὰ ἐν Ἱεροσολύμοις ποιήσασα, ἀναλαβομένη μέρος τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ σὺν τοῖς ἥλοις καὶ τὸ λοιπὸν ἐν γλωσσοκόμῳ ἀργυρῷ ἐμβαλοῦσα καὶ παραδοῦσα Μακαρίῳ τῷ ἐπισκόπῳ Ἱεροσολύμων, καταλαμβάνει τὸν πανεύφημον βασιλέα καὶ παῖδα αὐτῆς μετὰ τῆς μερίδος τοῦ τιμίου [15]

1. — [1] τε *om.* Sa. — [2] ἡμᾶς Sa. — [3] τοῦ *om.* Sa. — [4] Δανοῦβιν S, Δάννουβιν Sa. — [5] ἐγένετο Sa. — [6] διάγει Sa. — [7] παρακαλεσάμενος Sa. — [8] καθεύδουσαν Sa. — [9] κατασχωσθέντας Sa. — [10] ἐνδόξου αὐτοῦ καὶ ζωοποιοῦ Sa. — [11] ταύτης Sa. — [12] ὑποβαλλοῦσα S. — [13] ἐκρύπτετο Sa. — [14] πάμπολα Sa. — [15] (μετὰ - τιμίου) *om.* Sa.

Sept. 14. SYNAXARIA SELECTA. **Sa** : 1. 3. 2. 4. add. : Ἰστέον δὲ ὅτι κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ἕκτῃ συνόδῳ κτλ. (Sept. 18[2]). — **H** : 1 (ἥτις γίνεται ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ). — 2. — Sequitur Κυριακῇ μετὰ τὴν ὕψωσιν... Συμεών. — **P** : 1. 2. Sequitur : Σαββάτῳ μετὰ τὴν ὕψωσιν. Κυριακῇ μετὰ τὴν ὕψωσιν... Κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν ἀρχιεπισκόπου Ἱεροσολύμων συγγενοῦς τοῦ Κυρίου, δευτέρου [1] ἐπισκόπου [2] μετὰ Ἰάκωβον καταστάντος [3]· ὅστις ἦν καὶ ἐξάδελφος αὐτοῦ, υἱὸς γεγονὼς [4] Κλωπᾶ [5] καὶ Μαρίας τῆς γυναικὸς αὐτοῦ. Ὁ γὰρ Κλωπᾶς καὶ ὁ Ἰωσὴφ ὁ χρηματίσας κατὰ σάρκα πατὴρ τοῦ Κυρίου ἀδελφοὶ νόμιμοι ὑπῆρχον (Sept. 18[1]). — **F** : 1. 2. 4. 3. Sequitur : Σαββάτῳ... Κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμην ἐπιτελοῦμεν τοῦ ἁγίου ἱερομάρτυρος Συμεών... ἀδελφοὶ γνήσιοι ὑπῆρχον. Οὗτος κατηγορηθεὶς [6] ὑπὸ τῶν αἱρετικῶν καὶ κρατηθεὶς ὑπὸ Ἀττικοῦ τοῦ ὑπατικοῦ ὑπάρχων ἐτῶν ρκ', ἐν πολλαῖς αἰκίαις ἐξετασθεὶς καὶ τελευταῖον τῷ σταυρῷ προσπαγείς, τὸν βίον ἀπέλιπεν. — **Fa** : 1. 2. 4. 3. — **Fb** : 1. 2. 4. 3. — **B** : 1. 2. — **Ba** : 1. 2. 3 : Καὶ ἡ κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου· μετετέθη δὲ εἰς τὸν νοέμβριον μῆνα. — 4 (= S). Sequitur : Σαββάτῳ... Κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμη τοῦ ἁγίου ἱερομ. Συμεών. — **Bb** : 1. 3. 4. 2. — **T** : 1. — **L** : 1. 3. — **O** : 1 : Ἡ παγκόσμιος ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ἥτις γίνεται ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ ἀπὸ ἑσπέρας τῆς παννυχίδος τελουμένης· τὸν δὲ ὄρθρον ποιοῦμεν ἐν τῷ ἄμβωνι. — 2 : Τοῦ ἁγίου μάρτυρος Πάπα. Οὗτος ἤθλησεν ἐπὶ βασιλέως Μαξιμιανοῦ, προσαχθεὶς Μάγνῳ τῷ ἡγεμόνι πόλεως Λαρανίδων [7] τῆς Λυκαόνων ἐπαρχίας, ἐν ᾗ ἐγεννήθη ὁ ἅγιος. Ὁ δὲ τρόπος τῆς μαρτυρίας πληγαὶ καὶ συντριβαὶ τῶν σιαγόνων καὶ ἀναρτήσεις καὶ σιδηρῶν ὀνύχων ξεσμοὶ καὶ κρηπίδων σιδηρῶν καθηλώσεις. Ὑφ' ὧν περονούμενος καὶ τρέχειν ἔμπροσθεν ἵππων ἀναγκαζόμενος παρέδωκεν τὴν ψυχήν. — Sequitur Κυριακῇ μετὰ τὴν ὕψωσιν (= P). Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ

[1] δεύτερος P. — [2] ἐπίσκοπος P. — [3] καταστὰς P. — [4] γεγονὸς P. — [6] Κλ(ε)ωπᾶ *ed.* P. — [6] κατηγοριθεὶς F. — [7] Λαρανίδων *ita* O.

σταυροῦ καὶ τῶν ἥλων· ἦν [16] καὶ μετὰ πολλῆς εὐφροσύνης ὑπεδέξατο ὁ βασιλεὺς καὶ τοὺς μὲν ἁγίους ἥλους ἀπολαβὼν ἐν τῇ ἰδίᾳ περικεφαλαίᾳ καὶ τῷ χαλινῷ τοῦ ἵππου αὐτοῦ ἐντίθησι, τὴν δὲ μερίδα τοῦ τιμίου σταυροῦ ἀποθέμενος ἐν χρυσῇ θήκῃ παραδίδωσι τῷ ἐπισκόπῳ τῆς πόλεως εἰς τήρησιν, ὡς ἂν ἐνιαυσιαίαις [17] μνήμαις ἑορτάζηται ἡ ἀνάδειξις καὶ ἀνύψωσις [18] τοῦ τιμίου σταυροῦ παγκοσμίως· ἧς καὶ κατ' ἔτος λαμπρῶς ἐπιτελουμένης, σκιρτᾷ καὶ γέγηθεν ἡ καθολικὴ καὶ μεγάλη ἐκκλησία, ὡς δεδοξασμένη [19] δι' αὐτοῦ, καὶ πᾶς ὁ τῶν πιστῶν λαὸς ἀγιάζεται. Sept. 14.

f. 27. | **2.** Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πάπα. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ καὶ Μάγνου, ἡγεμόνος πόλεως [1] Λαράνδων [2] τῆς Λυκαόνων ἐπαρχίας. Ὁ δὲ τρόπος τῆς αὐτοῦ μαρτυρίας ποικίλος· πληγαὶ καὶ συντριβαὶ σιαγόνων, ἀναρτήσεις, σιδηρῶν ὀνύχων ξεσμοί, κρηπίδων σιδηρῶν καθηλώσεις, ὑφ' ὧν περονηθεὶς ἠναγκάζετο τυπτόμενος τρέχειν ἔμπροσθεν ἵππων· ἐπεὶ δὲ οὕτως πάσχων ἔτρεχε καὶ διῆλθεν ἀπὸ πόλεως Λαράνδων εἰς πόλιν λεγομένην Διοκαισάρειαν καὶ ἐκ ταύτης εἰς Σελεύκειαν, αἵμασι πολλοῖς τὴν γῆν βάπτων (ἃ καὶ ἀπέματτε γυνή τις εὐσεβὴς συντρέχουσα μετὰ λινοῦ ἐσθήματος), ἔστη εἰς συκῆν τινα καὶ [3] ἀγρίαν καὶ ἄκαρπον καὶ οὕτως [4] εὐξάμενος τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Λέγεται δὲ μετὰ τελευτὴν αὐτοῦ τὴν συκῆν καρποφόρον γενέσθαι [5].

3. Τῇ αὐτῇ ἡμέρᾳ συνέδραμε καὶ ἡ κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου ταύτης τῆς μεγαλοπόλεως Ἰωάννου τοῦ Χρυσοστόμου· ἧς τὴν σεβάσμιον ἑορτήν, ὡς μὴ δυνατὸν συντελεῖσθαι τῇ ὑψώσει, μετέθηκαν οἱ ἅγιοι πατέρες καλῶς ποιοῦντες εἰς τὴν τρισκαιδεκάτην τοῦ νοεμβρίου μηνός, ὡς ἂν ἰδίᾳ τιμᾶται καὶ μεγαλύνηται εἰς δόξαν τοῦ δοξάσαντος αὐτὸν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς εὐσεβεστάτης βασιλίσσης Πλακίλλης, συζύγου γενομένης Θεοδοσίου [1] τοῦ μεγάλου βασιλέως· ἥτις πάντα τὸν βίον αὐτῆς ἐν εὐσεβείᾳ καὶ τῇ τῶν πτωχῶν ἐπιμελείᾳ διετέλεσε· διὸ καὶ μετ' εἰρήνης τὸ πνεῦμα αὐτῆς τῷ Θεῷ παρέθετο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΕ'.

1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Νικήτα. Ὃς ἦν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, γεννηθεὶς καὶ τραφεὶς ἐν τῇ χώρᾳ τῶν βαρβάρων τῶν καλουμένων Γότθων, πέραν τοῦ Ἴστρου [1] ποταμοῦ· οὐ μὴν δὲ ἐκοινώνει τοῖς βαρβάροις, ἀλλὰ τῶν εὐσεβούντων ἦν, ὡς καὶ γένει καὶ περιουσίᾳ προέχων [2]. Οὗτος συλληφθεὶς ὑπὸ Ἀθαναρίχου [3] ἄρχοντος τοῦ ἔθνους διὰ τὴν εἰς Χριστὸν πίστιν καὶ αἰκισθεὶς σφόδρα, διὰ πυρὸς τελειοῦται [4]. Sept. 15.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης. Οὗτοι ἐγένοντο ἀπὸ Μαρκια|νουπόλεως τῆς f. 27'.
Μυσῶν ἐπαρχίας, κατὰ δὲ τοὺς χρόνους Μαξιμια-

— [16] (σταυροῦ - ἥλων ἦν) *om.* Sa. — [17] ἐνιαυσίαις Sa. — [18] ὕψωσις Sa. — [19] δοξασμένη S, δοξαζομένη Sa.

2. — [1] ἐκ πόλεως Sa. — [2] Λαρανδεῶν Cb. — [3] καὶ *om.* Sa. — [4] οὕτως Sa. — [5] τούτου τοῦ ἁγίου ἡ μνήμη τελεῖται μαρτίῳ ις' *add.* Sa.

4. — [1] Θεοδοσίου *corr. prius* Θεοδωσίου S.

1. — [1] Ἴστρου Sa, Ὕστρου S. — [2] περιέχων Sa. — [3] Ἀθαναρρίχου S, Ἀθαρίου Sa. — [4] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.

ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. — **G** : 1. 2. 4. — Sequitur Κυριακῇ... Συμεών. — Τῶν ἁγίων πατέρων συνελθόντων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ἕκτῃ συνόδῳ (Sept. 18[2]). — **C** : deest. — **Cb** : 1. 2 : Πάπα. Οὗτος ὁ ἅγιος μάρτυς Πάπας ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ ἐκ πόλεως Λαρανδέων τῆς Λυκαόνων [8] χώρας. Διδάσκων δὲ τὸν λόγον τοῦ Θεοῦ καὶ ὁμολογῶν τὸν Χριστὸν Θεὸν εἶναι καὶ βασιλέα, καὶ πολλοὺς πείθων πιστεύειν εἰς αὐτόν, ἐκρατήθη παρὰ Μάγνου τοῦ ἡγεμόνος τῆς αὐτῆς πόλεως. Καὶ πρῶτον μὲν τύπτεται ἰσχυρῶς καὶ συντρίβεται τὰ ὀστᾶ τοῦ προσώπου. Εἶτα κρεμασθεὶς ξέεται ἐπὶ πολὺ καὶ μετὰ ταῦτα ὑποδέδεται ὑποδήματα σιδηρᾶ ἥλους ἔχοντα μακροὺς καὶ ὀξεῖς· καὶ ἐλαύνεται τυπτόμενος ἔμπροσθεν τῶν ἵππων ἀπὸ Λαρανδέων <ἕως [9]> τῆς πόλεως τῆς λεγομένης Νεοκαισαρείας [10] καὶ ἀπὸ ταύτης ἕως Σελευκείας [11]. Τρέχοντος δὲ αὐτοῦ, ἀπαντήσασά τις γυνὴ ἀπεσπόγγιζε μετὰ λινοῦ τὰ αἵματα αὐτοῦ· εἶτα στὰς ὑποκάτω τῆς συκῆς καὶ εὐξάμενος παρέδωκε τῷ Κυρίῳ τὴν ἁγίαν αὐτοῦ ψυχήν· καὶ ἐτάφη, καὶ ἐγένετο εὐθέως καρποφόρος ἡ συκῆ. — **M** : 1. 3. 4. — Τῶν συνελθόντων ἁγίων πατέρων (Sept. 18[2]). — 2. — Ὁ ἅγιος μάρτυς Θεοκλὴς ξ. τ. — Βαλλεριανὸς τὸ νήπιον ξ. τ. — **Mv** : 1. 3. 4. — Των ἐν ἁγίοις πατέρων ἡμῶν τῶν συνελθόντων κτλ. (Sept. 18[2]). — 2. — Θεοκλής. — Βαλεριανός. — **Mr** : 1. Sept. 14.

SYNAXARIA SELECTA. **Sa** : 1, add. : Τελεῖται δὲ ἡ μνήμη αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ τῷ ὄντι πλησίον τοῦ ἁγίου Ῥωμανοῦ καὶ ἔνδον τοῦ ἁγίου ναοῦ τοῦ ἁγίου Ῥωμανοῦ, ἔνθα καὶ τὸ σῶμα αὐτοῦ ἀπόκειται μετὰ καὶ Δανιὴλ τοῦ προφήτου. — 2. 3. 4. — **H** : Εὕρεσις τοῦ λειψάνου τοῦ πρωτομάρτυρος Στεφάνου (Sept. 16[5]). — Τῶν ἁγίων πατέρων κτλ. (Sept. 18[2]). — 2. — **P** : 1 : Τοῦ ἁγίου μάρτυρος Νικήτα ἐπὶ τοῦ μεγάλου βασιλέως Κωνσταντίνου ὑπάρχοντος [1] ἐκ τῆς βαρβάρων πέραν τοῦ Οἴστρου [2] ποταμοῦ τοῦ Δανουβίου ἐκ τῶν οἰκούντων ἐκεῖσε Γότθων ἐπὶ Ἀθαναρίχου. — Ἡ εὕρεσις τῶν λειψάνων τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου (Sept. 16[5]). — Καὶ μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων καὶ μακαρίων πατέρων ἡμῶν τῶν συνελθόντων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ς' συνόδῳ (Sept. 18[2]). — **F** : 1. 2. — Πέτρου ἐν τῇ Sept. 15.

— [8] Λικαόνων Cb. — [9] ἕως *om.* Cb. — [10] Νεοκεσαρίας Cb. — [11] Σελευκίας Cb.

[1] ὑπάρχων P. — [2] *lege* Ἴστρου.

Sept. 15. νοῦ τοῦ βασιλέως[1] διὰ τὴν εἰς Χριστὸν πίστιν κρατηθέντες παρὰ Τήριδος τοῦ τῆς Θρᾴκης στρατηγοῦ, πρῶτον μὲν τύπτονται ἰσχυρῶς μετὰ ῥάβδων, ἔπειτα ἀκρωτηριάζονται πάντα τὰ μέλη· τεθέντες δὲ ἐπὶ ἁμαξῶν καὶ ἅμα τῷ στρατηγῷ κατεπειγομένῳ ἐν Ἀδριανουπόλει ἀπαχθέντες καὶ καταναγκαζόμενοι κολακείαις τε καὶ ἀπειλαῖς θῦσαι τοῖς εἰδώλοις, μὴ πεισθέντες τὰς κεφαλὰς[2] ἀποτέμνονται.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Φιλοθέου. Ὃς ὥρμητο θέματος μὲν Ὀψικίου, κώμης δὲ καλουμένης Μύρμηκος[1], ἐκ κοιλίας μητρὸς ἁγιασθεὶς καὶ τοῦ μητρικοῦ ὀνόματος κατάλληλον τὴν κλῆσιν δεξάμενος· Θεοφίλα[2] γὰρ ἐλέγετο. Οὗτος ἦν ὅλως τῷ Θεῷ ἀνάθημα, νηστείᾳ σχολάζων, προσευχαῖς προσκαρτερῶν[3], ἐν ταῖς θείαις συνάξεσιν οὐκ ἀπολιμπανόμενος, ταῖς ἀναγνώσεσι νουνεχῶς[4] προσομιλῶν, τοῖς πτωχοῖς ἐπαρκῶν, τοῖς πᾶσι τὰ πάντα γενόμενος· γάμῳ δὲ προσομιλήσας καὶ παίδων πατὴρ γενόμενος, τῆς ἱερωσύνης καταξιοῦται. Ἔκτοτε πάλιν οἱ ψαλμοὶ ἐπὶ στόματος, αἱ χεῖρες τοῦ γεηπονεῖν οὐκ ἠμέλουν. Ἡ δὲ ἐλεημοσύνη ἀμέτρητος· ὅθεν καὶ θαυμάτων μεγίστων ἠξιώθη, διὰ μόνης προσευχῆς ἐξ ἀπόρων ταμιείων τοῖς πεινῶσιν ἄρτον παρασχών[5]· ἀλλὰ καὶ ποτάμιον[6] ὕδωρ εἰς οἶνον μετέβαλλε[7] καὶ λίθον μέγιστον λόγῳ μόνῳ μετατέθηκεν[8]· καὶ μετὰ ἐνιαυτὸν τῆς κοιμήσεως αὐτοῦ μετατιθεμένου[9] ἐν ἑτέρῳ τόπῳ, αὐτὸς τὰς χεῖρας ὡσεὶ ζῶν ἐκτείνας καὶ τῶν ὤμων δραξάμενος τῶν δύο ἱερέων βουλομένων αὐτὸν μεταθεῖναι, ἀνέστη καὶ τρεῖς βάσεις βηματίσας κατετέθη ἐν ᾧ νῦν τόπῳ κείμενος βλύζει πηγὴν ἀεννάου μύρου, θαυμαστήν τινα καὶ ξένην τῆς αὐτοῦ πολιτείας παρέχων ἀπόδειξιν.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Πορφυρίου, τοῦ ἀπὸ μίμων γενομένου[1]. Οὗτος ἦν μῖμος καὶ γελωτοποιός· ὑπὸ δὲ Ἰουλια|νοῦ τοῦ f. 28
παραβάτου ἐν μιᾷ τῶν ἡμερῶν, τῶν γενεθλίων αὐτοῦ τελουμένων, κελευσθεὶς ἐπὶ τραπέζης διασῦραι καὶ καταπαῖξαι τὰ χριστιανῶν μυστήρια, ἐν τῷ μέλλειν αὐτὸν καταβῆναι εἰς τὸ ὕδωρ καὶ βαπτίσασθαι, ἐξεβόησεν εἰπών· « Βαπτίζεται Πορ- » φύριος εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ » τοῦ ἁγίου πνεύματος· » καὶ ἀναβὰς[2] καὶ ἀμφιασάμενος τὰ ἱμάτια αὐτοῦ καὶ[3] χριστιανὸν ἑαυτὸν παρρησίᾳ ἀνακηρύττων, ξίφει τὴν κεφαλὴν τέμνεται, μεγάλα θαύματα ἐργασάμενος.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Ιϛ'.

Sept. 16. **1.** Ἄθλησις τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας. Αὕτη κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ τοῦ βασιλέως γέγονε καὶ Πρίσκου ἀνθυπάτου Εὐρώπης[1], ἐκ πόλεως Χαλκηδόνος, θυγάτηρ οὖσα Φιλόφρονος καὶ Θεοδωρησιανῆς[2]. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν διαβληθεῖσα καὶ παραστᾶσα

2. — [1] τοῦ βασιλέως Μαξιμιανοῦ Sa. — [2] αὐτῶν *add.* Sa.
3. — [1] Μύρμικος S. Sa. — [2] Θεοφύλα Sa. — [3] ἐγκαρτερῶν Sa. — [4] συνεχῶς Sa. — [5] παρασχεῖν Sa. — [6] ποτάμιον Sa, πόταμίον S. — [7] μετέβαλε Sa. — [8] μετετέθηκεν S, μετέθηκε Sa. — [9] μετατιθεμένου Sa, μετατιθεμένω S.
4. — [1] γινομένου S. — [2] ἀναβὶς S. — [3] *om.* Sa.
1. — [1] Εὐραόπης Sa. — [2] Θεοδωροσιανῆς Sa.

Sept. 15. Ἀτρώᾳ (Sept. 13[4]). — Κρονίδους, Λέοντος καὶ τῶν σὺν αὐτῷ (Sept. 13[5]). — Στεφάνου (Sept. 16[5]). — 3. 4. — Μνήμη τῶν ἁγίων πατέρων (Sept. 18[2]). — **Fa** : 1. 2. — Πέτρου. — Κρονίδους κτλ. — Στεφάνου. — 3. 4. — Τῶν ἁγίων πατέρων. — **Fb** : 1. 2. — Πέτρου. — Κρονίδους. — Στεφάνου. — 3. 4. — Τῶν ἁγίων πατέρων. — **B** : 1. 3. 2 (= S). — Μαρτίνου πάπα Ῥώμης (Sept. 16[2]). — 4. — Μελιτινῆς (Sept. 16[4]). — **Ba** : 1. 2. 3. — Μαρτίνου (Sept. 16[2]). — 4. — **Bb** : 1. 3. 2. — Μαρτίνου (Sept. 16[2]). — 4. — **L** : 1. — **O** : 1. — Στεφάνου (Sept. 16[5]). — Μνήμη τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν συνελθόντων εἰς τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον, ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι τῶν πόλεων, ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου βασιλέως Κωνσταντίνου καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. Τελεῖται δὲ ἡ τούτων σύναξις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ (Sept. 18[2]). — 2. — **G** : 1. 3. 4. — **C** : deest. — **Cb** : 1. 3 (... Θεοφίλου). — 2. — Μαρτίνου πάπα Ῥώμης. Οὗτος ὁ ἅγιος πατὴρ ἡμῶν Μαρτῖνος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ ἐπιλεγομένου Πωγωνάτου[3], τοῦ ἐγγόνου Ἡρακλείου τοῦ βασιλέως. Ὅστις Κωνσταντῖνος ὑπῆρχεν αἱρετικὸς μονοθελήτης· ὑπῆρχε πατριάρχης Κωνσταντινουπόλεως Παῦλος ὀνόματι καὶ αὐτὸς αἱρετικὸς μονοθελήτης. Ἔμαθε δὲ ταῦτα ὁ ἅγιος Μαρτῖνος καὶ συγκαλεσάμενος τὴν ἁγίαν σύνοδον ἀναθεμάτισε τὴν τῶν μονοθελητῶν αἵρεσιν καὶ σὺν αὐτῇ τὸν Πωγωνάτον[4] καὶ Παῦλον τὸν πατριάρχην καὶ Σέργιον καὶ Πύρρον καὶ τοὺς λοιπούς. Μαθὼν δὲ ταῦτα ὁ βασιλεὺς καὶ ὀργισθείς, ἀπέστειλεν εἰς Ῥώμην καὶ ἐκράτησεν τὸν πατριάρχην Μαρτῖνον καὶ ἔφερεν εἰς Κωνσταντινούπολιν. Καὶ πρῶτον μὲν ἔτυψεν[5] αὐτὸν ἰσχυρῶς καὶ ἐδήμευσε καὶ ἀπέκλεισεν εἰς σκοτεινὴν[6] φυλακήν. Ὕστερον δὲ ἐξώρισεν αὐτὸν εἰς Χερσῶνα τὴν πόλιν, ἐν ᾗ καὶ ἐτελεύτησε, παραδοὺς τῷ Κυρίῳ τὴν ἁγίαν αὐτοῦ καὶ μακαρίαν ψυχήν (Sept. 16[2]). — 4. — Στεφάνου (Sept. 16[5]). — Τῶν ἁγίων πατέρων (Sept. 18[2]). — **M** : 1. 3. 4. — Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ ἁγίου Ἀκακίου ἐπισκόπου Μελιτηνῆς. — 2 : Ὁ ἅγιος μάρτυς Μάξιμος ἑ. τ. — Αἱ ἅγιαι δύο κόραι ἑ. τ. — Στεφάνου (Sept. 16[5]). — **Mv** : 1. 3. 4. — Εὕρεσις τοῦ ἁγίου Ἀκακίου. — 2 : Μάξιμος. — Δύο κόραι. — Στεφάνου. — **Mr** : 1.

Sept. 16. SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἔνδον τοῦ ναοῦ τῆς ἁγίας Ἀκυλίνης πλησίον τοῦ Φόρου. — 3. 4. 5. — **H** : 1. 2. 3. 4. — **P** : 2 : Τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Μαρτίνου, ἀρχιεπισκόπου τῆς τῶν Ῥωμαίων ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας,

— [3] πογονάτου Cb. — [4] πογονάτον Cb. — [5] ἔτυψαν Cb. — [6] ||||κοτεινὴν Cb.

τῷ ἀνθυπάτῳ, τροχοῖς καὶ πυρὶ πρότερον προσπαλαίσασα, ἔτι δὲ μηχαναῖς ἑτέρων βασανιστηρίων, τὸ τελευταῖον ἐπὶ τοῦ σταδίου ἀφεθέντων αὐτῇ λεόντων, τοῦ σώματος αὐτῆς ἀλωβήτου ἀπὸ τῆς τούτων βλάβης φυλαχθέντος, κλήσεως ἄνωθεν αὐτῇ ἐπιγενομένης, ἐν αὐτῷ τῷ θεάτρῳ παρέδωκε τὴν ψυχὴν τῷ Κυρίῳ. Τελεῖται δὲ ἡ ταύτης σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ, τῷ ὄντι ἐν τοῖς Ἀντιόχου καὶ πλησίον τῶν Λαύσου.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Μαρτίνου πάπα Ῥώμης. Ὃς ἦν ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου, ἐκγόνου Ἡρακλείου. Ὃν ὡς τὸν Σέργιον ἐπίσκοπον Κωνσταντινουπόλεως καὶ Κῦρον ἐπίσκοπον Ἀλεξανδρείας καὶ Θεόδωρον ἐπίσκοπον τῆς Φαρὰν[1] δημοσίοις ἀποκηρύξαντα γράμμασιν καὶ ὅρον εὐσεβείας ἐκθέμενον καὶ ἀνατρέψαντα καὶ ἀναθεματίσαντα μετὰ τῆς συνελθούσης αὐτῷ συνόδου τὴν τῶν μονοθελητῶν αἵρεσιν ὁ βασιλεύς, ὡς τῆς αὐτῶν δυσσεβοῦς αἱρέσεως ὑπάρχων, λίαν μανεὶς ἀπὸ τῆς Ῥωμαίων f. 28'.
μεταπέμπεται, πολλὰς αὐτῷ κακώσεις | κατὰ τὸν πλοῦν ἐνδειξάμενος· καὶ ὥσπερ τινὶ κακούργῳ κλοιὰ περιθείς, ἐν τῷ πραιτωρίῳ καθείργνυσιν· εἶτα ὑπερόριον πέμπει ἐν Χερσῶνι[2] τῇ πόλει, ἔνθα τὸ λεῖπον τῆς ζωῆς διανύσας πρὸς Κύριον ἐκδημεῖ. Μετὰ μικρὸν δὲ καὶ ὁ παράνομος βασιλεὺς ἐν Σικελίᾳ κατελθὼν καὶ ἐν τῷ τῆς Δάφνης λουτρῷ εἰσελθών, ἀναιρεῖται παρὰ τῶν ὑπ' αὐτὸν μαχαίρᾳ[3]. Sept. 16.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας Σεβαστιανῆς. Αὕτη γέγονεν ἐπὶ Δομετιανοῦ τοῦ βασιλέως, ὑπάρχουσα ἐκ πόλεως Σεβαστῆς τῆς Φρυγίας· ἐδιδάχθη δὲ τὸν εὐσεβῆ λόγον ὑπὸ Παύλου τοῦ ἀποστόλου. Καὶ συνεσχέθη ἐν Μαρκιανουπόλει κηρύττουσα τὸν Χριστὸν ὑπὸ τοῦ ἡγεμόνος Σεργίου· καὶ τυφθεῖσα παρ' αὐτοῦ καὶ εἰς κάμινον ἐμβληθεῖσα, τῇ τοῦ Χριστοῦ χάριτι διέμεινεν ἀβλαβής· μετὰ δὲ ταῦτα ἦλθεν εἰς Ὀδυσσόν[1]· εἶτα εἰς Ἀγχίαλον, εἶτα εἰς Ἀρκαδιούπολιν· ἐξ ἧς κατέλαβεν Ἡράκλειαν τὴν τῆς Θρᾴκης· ἔνθα κρατηθεῖσα παρὰ Πομπηϊανοῦ ἡγεμόνος, ἐκρεμάσθη κατὰ κεφαλῆς ἐπὶ ξύλου καὶ ἐξέσθη ἀκμαῖς σιδηρῶν[2] ὀνύχων, καὶ λέουσι προετέθη εἰς βοράν[3]· καὶ τῶν τοσούτων ὑπεράνω γενομένη[4] βασάνων, τὴν διὰ ξίφους ὑπέμεινεν ἐκτομήν, ἐξ ἧς καὶ λέγεται ἀντὶ αἵματος ῥυῆναι γάλα. Τὸ δὲ σῶμα αὐτῆς ἐρρίφη ἐν θαλάσσῃ καὶ ἐκδοθὲν τοῖς πιστοῖς θείᾳ προνοίᾳ ἐτάφη ἐν Ῥαιδεστῷ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος

2. — [1] Φαρᾶν Sa. — [2] Χερσώνει S. — [3] τελεῖται δὲ κτλ. *add.* Sa, *inter* Synaxaria selecta.
3. — [1] Ὀυσσόν S. Sa, *melius forte* Ὀδησσόν. *Cf.* Pape-Benseler, *s. v.* — [2] Sa *corr.*, *prius* σιδηραῖς. — [3] βορράν S. — [4] γενομένη ὑπεράνω Sa.

ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου ἐγγόνου Ἡρακλείου· ὅστις Κωνσταντῖνος ἐν Σικελίᾳ ἐν τῷ τῆς Δάφνης λουτρῷ μαχαίρᾳ τελευτᾷ. — 1 : Τῆς ἁγίας μάρτυρος Εὐφημίας ἐπὶ Διοκλητιανοῦ βασιλέως, Πρίσκου ἀνθυπάτου τῆς Εὐρώπης, ἐκ πόλεως Χαλκηδόνος. — 3 : Τῆς ἁγίας μάρτυρος Σεβαστιανῆς ἐπὶ Δομετιανοῦ βασιλέως ἐκ Σεβαστῆς Φρυγίας ὁρμωμένης[1], μαθητρίας[2] Παύλου τοῦ θεσπεσίου ἀποστόλου. — 4 : Τῆς ἁγίας μάρτυρος Μελιτήνης[3] ἐκ Μαρκιανουπόλεως[4] τῆς Θρᾴκης ἐπὶ Ἀντωνίου βασιλέως καὶ Ἀντιόχου ἡγεμόνος ταύτης πόλεως. Συναγόμεθα δὲ ἐν τῷ ἁγίῳ αὐτῆς οἴκῳ ἐν τῷ Πετρίῳ. — **Fa** : 1. 2. 3. 4. — **Fa** : 1. 2. 3. 4. — **Fb** : 1. 2. 3. 4. — **B** : Πίστεως, Ἐλπίδος, Ἀγάπης καὶ τῆς μητρὸς αὐτῶν Σοφίας (Sept. 17[1]). — Ἀγαθοκλείας (Sept. 17[2]). — **Ba** : 1 : Εὐφημίας. Ἡ μεγαλομάρτυς Εὐφημία ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ ἐκ τῆς πόλεως Χαλκηδόνος. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἐκρατήθη παρὰ τοῦ ἀνθυπάτου· καὶ πρῶτον μὲν ἀναγκασθεῖσα ἀρνήσασθαι τὸν Χριστὸν καὶ μὴ πεισθεῖσα, ἐδέθη εἰς τροχὸν καὶ ἐτιμωρήθη. Ἔπειτα ἐνεβλήθη εἰς κάμινον καὶ ἐξῆλθεν ἀβλαβής. Καὶ ἰδόντες Σωσθένης καὶ Βίκτωρ οἱ στρατιῶται τὸ ἐπ' αὐτῇ θαῦμα, ἐπίστευσαν εἰς τὸν Χριστὸν καὶ παραδοθέντες θηρίοις ἐτελειώθησαν. Εἶτα βασανισθεῖσα ἡ ἁγία διαφόρως ἀπεκλείσθη εἰς φυλακὴν καὶ μετὰ τοῦτο ἐκβληθεῖσα καὶ τοὺς ὀδόντας ἐκριζωθεῖσα, παρεδόθη λέουσιν εἰς τὸ βρωθῆναι. Λυτρωθείσης δὲ ταύτης ἐκ τῶν λεόντων καὶ προσευχομένης, ἦλθε φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· « Εὐφημία, καλῶς ἠγωνίσω· τὴν πρὸς ἐμὲ πίστιν ἐτήρησας, τῆς ἀθλήσεως τὸν δρόμον ἐτέλεσας· ἐλθέ, » λοιπὸν ἀπόλαβέ σου τὸν στέφανον. » Καὶ οὕτω τελειωθεῖσα ἐτάφη ὑπὸ τῶν γονέων αὐτῆς πλησίον τῆς πόλεως Χαλκηδόνος. — 3 : Σεβαστιανῆς. Αὕτη ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Δομετιανοῦ ἐν τοῖς χρόνοις τῶν ἁγίων ἀποστόλων ἐκ τῆς χώρας Φρυγίας. Ἐδιδάχθη δὲ τὸν λόγον τοῦ Χριστοῦ ὑπὸ Παύλου τοῦ ἀποστόλου καὶ ἀπελθοῦσα εἰς Μαρκιανούπολιν τῆς Θρᾴκης, ἐκήρυττε τὸν Χριστόν. Καὶ διὰ τοῦτο κρατηθεῖσα παρὰ Σεργίου τοῦ ἄρχοντος ἐτιμωρήθη[5] καὶ ἀπεκλείσθη εἰς φυλακήν. Εἶτα ἐκβληθεῖσα τῆς φυλακῆς, ἐκήρυττε τὸν Χριστὸν πάλιν, καὶ εἶθ' οὕτως παρεδόθη πυρί. Καὶ μηδὲν βλαβεῖσα ἀπελύθη[6], καὶ περιερχομένη τὰς πόλεις καὶ τὰς χώρας, ἐδίδασκεν ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ καὶ πολλοὺς τῶν ἀπίστων ἐπέστρεφεν[7] ἐπ' αὐτόν. Ἐλθοῦσα δὲ καὶ εἰς Ἡράκλειαν τῆς Θρᾴκης καὶ τὰ ὅμοια διδάσκουσα, ἐκρατήθη παρὰ τοῦ ἄρχοντος καὶ ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεῖσα, παρεδόθη θηρίοις. Καὶ τούτων ῥυσθεῖσα, τὴν κεφαλὴν ἀπετμήθη· καὶ ἔρρευσεν ἀντὶ αἵματος γάλα. Τὸ δὲ σῶμα αὐτῆς ἐρρίφη ἐν τῇ θαλάσσῃ καὶ κατ' οἰκονομίαν Θεοῦ ἐκβληθὲν εἰς τὴν ξηρὰν ἐτάφη ἐν τῷ κάστρῳ Ῥαιδεστοῦ. — 4 : Μελιτινῆς[8]. Αὕτη[9] ὑπῆρχεν ἀπὸ[10] Μαρκιανουπόλεως τῆς Θρᾴκης ἐπὶ Ἀντωνίνου Καίσαρος[11] Ῥωμαίων. Τὸν Χριστὸν δὲ κηρύττουσα, ἐκρατήθη[12] παρὰ Ἀντιόχου τοῦ τῆς αὐτῆς πόλεως ἄρχοντος καὶ ὁμολογήσασα ἑαυτὴν χριστιανὴν ἐτύφθη[13] σφοδρῶς. Εἶτα Sept. 16.

[1] ὁρμωμένη P. — [2] μαθήτρια P. — [3] Μελιτίνης P. — [4] Μαριανουπόλεως P. — [5] ἐτιμωρίσθη Ba. — [6] ἀπελύθει Ba. — [7] ἐπέστρεφον Ba. — [8] Μελητίνης Cb. — [9] ἡ ἁγία μάρτυς Μελετίνη Cb. — [10] ἐκ Cb. — [11] βασιλέως Cb. — [12] (τὸν Χριστὸν - ἐκρατήθη) χριστιανὴ καὶ φοβουμένη τὸν Θεὸν κρατηθεῖσα δὲ Cb. — [13] (καὶ ὁμολογήσασα - ἐτύφθη) ὡμολόγησε μετὰ παρρησίας τὸ ὄνομα τοῦ δεσπότου Χριστοῦ τοῦ Θεοῦ· διὰ τοῦτο τύπτεται Cb.

Sept. 16. Μελιτηνῆς. Αὕτη ἦν ἐκ Μαρκιανουπόλεως τῆς Θρᾴκης ἐπὶ τῆς βασιλείας Ἀντωνίνου. Συνεσχέθη δὲ παρὰ Ἀντιόχου ἡγεμόνος τῆς αὐτῆς [1] πόλεως· καὶ πολλὰ ὑποστᾶσα διὰ Χριστὸν δεινὰ καὶ πλεῖστα σημεῖα ἐνεργήσασα (τὰ γὰρ εἴδωλα διὰ προσευχῆς κατήνεγκεν εἰς τὴν γῆν καὶ τὸν Ἀπόλλωνα καὶ τὸν Ἡρακλέα ὑφὲν συνέτριψεν) καὶ πολλοὺς τῶν ἑλλήνων καὶ αὐτὴν τὴν τοῦ ἄρχοντος γυναῖκα τῷ Χριστῷ παραγαγοῦσα [2], τὴν διὰ ξίφους τιμωρίαν ὑπέστη.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἀνάμνησις τῆς εὑρέσεως τοῦ [1] λειψάνου τοῦ ἁγίου <ἀποστόλου [2]> καὶ πρωτομάρτυρος Στεφάνου.

f. 29. ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΖ'.

Sept. 17. **1.** Ἄθλησις τῶν ἁγίων [1] Πίστεως, Ἐλπίδος καὶ Ἀγάπης τῶν αὐταδέλφων καὶ τῆς μητρὸς αὐτῶν Σοφίας. Αὗται ὑπῆρχον ἐξ Ἰταλίας ἐπὶ τῆς βασιλείας Ἀδριανοῦ. Ἀχθεῖσα οὖν ἡ Πίστις ἐτῶν ὑπάρχουσα δεκαδύο καὶ ἐρωτηθεῖσα καὶ τὸν Χριστὸν ὁμολογήσασα, ῥαβδίζεται καὶ μέρη τινὰ τοῦ σώματος ἀφαιρεῖται σιδήρῳ, ἐξ ὧν ἀντὶ τοῦ αἵματος γάλα ἔρρευσεν [2], καὶ εἰς πυρὸς ἐσχάραν ἐναποτίθεται καὶ ἄφλεκτος μείνασα ξίφει τὴν κεφαλὴν τέμνεται· ἔπειτα καὶ ἡ Ἐλπὶς ἐτῶν ὑπάρχουσα δέκα νεύροις τύπτεται, εἰς πῦρ ἀπορρίπτεται, ἀναρτηθεῖσα ξέεται, εἰς λέβητα ἐμβάλλεται καὶ παραδόξως ῥυσθεῖσα, καὶ αὐτὴ τὸν διὰ ξίφους δέχεται θάνατον. Εἶτα ἡ Ἀγάπη χρόνων οὖσα ἐννέα καὶ αὐτὴ ὁμοίως [3] ἀνεσκολοπίσθη [4], καὶ μείνασα ἀβλαβὴς ἀπετμήθη τὴν κάραν [5]. Ἡ δὲ τούτων μήτηρ Σοφία μετὰ [6] τρίτην ἡμέραν, τῷ τάφῳ αὐτῶν παραμένουσα καὶ δάκρυσι καταβρέχουσα [7], τὴν ψυχὴν τῷ Θεῷ παρατίθεται.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἀγαθοκλείας. Αὕτη οἰκέτις [1] ἦν Νικολάου τινὸς ἀπὸ χριστιανῶν καὶ Παυλίνης τῆς αὐτοῦ γυναικός. Ἥτις Παυλῖνα πολλὰς ἐποίει [2] τῇ ἁγίᾳ Ἀγαθοκλείᾳ [3] θλίψεις ἐπὶ χρόνοις ὀκτὼ αὐτὴν ἀκροτόμοις λίθοις ἐν τοῖς ὑπαυχενίοις τοῦ σώματος τόποις τύπτουσα καὶ ἀνυπόδετον γυμνοῖς τοῖς ποσὶν εἰς τραχεῖς καὶ [4] δυσβάτους τόπους ἐλαύνουσα καὶ σιδηρᾷ σφηνὶ [5] τὰς πλευρὰς συνθλῶσα αὐτῆς καὶ τὴν γλῶτταν ἐκκαίουσα καὶ λιμῷ κατάγχουσα καὶ κλοιοῖς [6] βαρύνουσα· ἐπεὶ δὲ οὐκ ἔπειθεν ἀρνή-

4. — [1] αὐτοῦ Sa. — [2] προσαγαγοῦσα Sa.
5. — [1] τοῦ τιμίου Sa. — [2] ἀποστόλου Sa, *om.* S.
1. — [1] μαρτύρων *add.* Sa. — [2] ἔρρυσε Sa. — [3] ὁμοίως *om.* Sa. — [4] ἀνεσκολλοπίσθη S, ἀνεσκολοπήσθη Sa. — [5] κεφαλὴν Sa. — [6] μετὰ τὴν Sa. — [7] βρέχουσα Sa.
2. — [1] οἰκέτης S. — [2] ἐπήνεγκε Sa. — [3] Ἀγαθοκλία S. — [4] καὶ *om.* Sa. — [5] σφίνη S. Sa. — [6] κλειοῖς S.

Sept. 16. ἠναγκάσθη εἰσελθεῖν [14] εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ θῦσαι. Καὶ εἰσελθοῦσα ηὔξατο πρὸς τὸν Θεόν [15]· καὶ ἔπεσον [16] τὰ εἴδωλα καὶ συνετρίβησαν [17]. Ἐκ τούτου [18] ἐπίστευσαν τῷ Χριστῷ [19] ἕλληνες πολλοί, ἀλλὰ καὶ αὐτὴ ἡ τοῦ ἄρχοντος γυνή. Καὶ πάλιν τυφθεῖσα [20], ἐρρίφη [21] εἰς φυλακήν· καὶ πάλιν τῆς φυλακῆς ἐξελθοῦσα ἐκρεμάσθη [22] γυμνὴ καὶ ἐξέσθη [23] τὰς πλευράς· καὶ πάλιν εἰσαχθεῖσα [24] εἰς ἕτερον [25] ναὸν εἰδωλικὸν [26] θῦσαι, ηὔξατο· καὶ πεσόντα τὰ εἴδωλα διεσκορπίσθησαν εἰς μικρά. Τότε λαβοῦσα τὴν διὰ ξίφους ἀπόφασιν, ἀπεκεφαλίσθη [27]. Τὸ δὲ λείψανον αὐτῆς ἀνελόμενος [28] ἀνὴρ εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν [29], Ἀκάκιος ὄνομα [30], καὶ [31] ἀπαγαγὼν [32] ἐν τῇ νήσῳ τῆς Λήμνου [33] κατέθετο [34]. —

Bb : 1. 3. 4. — **T** : 1. 3. 4. — **L** : 1. — **O** : 1. — **G** : 1. 2. 3. — **C** : mutil. 3. 2. 4. — **Cb** : 1. 3. 4 (contuli cum Ba). — **M** : 1. 2. 3. 4. — **Mv** : 1. 2. 3. 4. — **Mr** : 1.

Sept. 17. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. — **H** : 4 (Χαραλάμπους, Παντολέοντος, Ἀγαθοκλείας καὶ τῆς συνοδίας αὐτῶν). — 3. 5 (Ἡρακλείδου solius). — 6. — **P** : 2. 3. 4. 5. 6. — **F** : 1. 2. 3. 4. 5 (Μοίρωνος καὶ Ἡρακλίδους). — 6. — **Fa** : 1. 2. 3. 4. 5 (Μύρονος καὶ Ἡρακλήδους). — **Fb** : 1. 2. 3. 4. 5. 6. — **B** : 3. — **Ba** : 1. 2. 3. — **Bb** : 1. 2. 3. — **T** : 1. — **L** : 1. — **O** : 1. 4 : Χαραλάμπους, Παντολέοντος, Ἀγαθοκλείας καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ αὐτῶν μαρτυρείῳ τῷ ὄντι ἐν τῷ Δευτέρῳ. Τούτων Ἀγαθοκλεία οἰκέτης ἦν κτλ. — 2. 3. 5. 6. — **G** : 1. 2. — **C** : 1. 4. 2. 3. 5 et 6 (Τῶν ἁγίων μαρτύρων Ἡρακλείδους ἐπισκόπου Ταμάσου τῆς Κύπρου καὶ τῶν ἁγίων γυναικῶν Σοφίας καὶ Εἰρήνης). — **Cb** : 1. 4. 2. 3. 5. 6 (= C). — **M** : 1. 2. — Μαξίμου, Θεοδότου καὶ Ἀσκληπιοδότης (Sept. 15[2]). — 3. — Θεοδότης. Βασιλεύοντος ἐν τῇ πρεσβυτέρᾳ [1] Ῥώμῃ τοῦ Ἀλεξάνδρου, ἀπεστάλη Σιμπλίκιος [2] ἐν τῇ τῶν Καππαδοκῶν χώρᾳ, καὶ ἐμηνύθη αὐτῷ ἡ Θεοδότη, ἐκ τῆς Ποντικῆς οὖσα [3] χώρας, σφόδρα πλουσία. Ἥτις [4] παραστᾶσα, ὡς οὐκ ἐπείθετο ἀποστῆναι τῆς εἰς Χριστὸν πίστεως, ἀπαιωρηθεῖσα ἐπὶ πολλαῖς ταῖς ὥραις, τὰ σπλάγχνα ἐξέετο [5]· ἐδόξαζε δὲ [6] τὸν Θεὸν καὶ ὡς ἄλλου πάσχοντος ἐῴκει τοὺς ξεσμοὺς ὑποφέρειν. Εἶτα καταχθεῖσα φρουρεῖται· καὶ μεθ' ἡμέρας ὀκτὼ τῆς φυλακῆς αὐτομάτως ἀνοιγείσης, ὡς εἶδον οἱ φύλακες, ἐξέστησαν καὶ δραμόντες ἀπήγγειλαν τῷ Συμπλικίῳ. Οὐκ ἐπίστευσε δὲ αὐτοῖς, ἀλλὰ τῇ ἑξῆς ἀχθείσης τῆς ἁγίας, ὡς εἶδε ταύτην ὁ Σιμπλίκιος ὅλην ὑγιῆ καὶ μηδέν τι ἴχνος τῶν μωλώπων ἐν τῷ σώματι φέρουσαν, λέγει πρὸς αὐτήν· « Τίς εἶ »; Ἡ δὲ ἁγία· « Ἡμαύρωταί σου ἡ διάνοια, φησίν· εἰ γὰρ νήφων ἦς, ἤδεις ἂν ὅτι ἐγώ εἰμι ἡ Θεοδότη. » Ταῦτα

— [14] (εἶτα - εἰσελθεῖν) εἶτα εἰσῆλθεν Cb. — [15] (καὶ θῦσαι - Θεόν) καὶ προσηύξατο Cb. — [16] ἔπεσε Cb. — [17] συνετρίβη Cb. — [18] ὅθεν Cb. — [19] εἰς τὸν Χριστὸν Cb. — [20] τύπτεται ἰσχυρῶς Cb. — [21] εἶτα ῥιφεῖσα Cb. — [22] (καὶ πάλιν - ἐκρεμάσθη) καὶ μετὰ ἑπτὰ ἡμέρας κρεμνᾶται Cb. — [23] ξέεται Cb. — [24] εἰσάγεται Cb. — [25] τὸν Cb. — [26] τῶν εἰδώλων Cb. — [27] (θῦσαι - ἀπεκεφαλίσθη) τοῦ προσκυνῆσαι αὐτά· καὶ παραχρῆμα ἔπεσον τὰ εἴδωλα καὶ συνετρίβησαν καὶ οὕτως ἀπετμήθη τὴν κεφαλὴν τὸ δὲ πνεῦμα παρέδωκεν τῷ Θεῷ. Cb. — [28] λαβὼν Cb. — [29] (ἀνὴρ - Θεόν) *om.* Cb. — [30] τῆς μακαιδῶν *ita* Cb. — [31] καὶ *om.* Cb. — [32] ἀπήγαγεν Cb — [33] Λίμνου Ba, Cb. — [34] καὶ ἔθαψεν Cb.
[1] πρεσβυτόρᾳ Mv. — [2] Συμβλίκιος (*vel* Συμβλύκιος) M, Συμπλίκιος Mv *semper*. — [3] οὖσαν M. — [4] καὶ *add.* Mv. — [5] ἐφλέγετο καὶ Mv. — [6] δὲ *om.* Mv.

σασθαι τὸν Χριστόν, τὸ τελευταῖον ἐπενεγκοῦσα κατὰ τοῦ τραχήλου αὐτῆς πῦρ, ἀπορραγῆναι τῆς παρούσης ζωῆς κατηνάγκασε.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Λουκίας καὶ τοῦ ἁγίου Γεμινιανοῦ [1] τοῦ πνευματικοῦ υἱοῦ αὐτῆς. Αὕτη γέγονεν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων <ἐν [2]> Ῥώμῃ τῇ πόλει πλούτῳ καὶ γένει οὖσα περιφανής, τῇ χηρείᾳ δὲ δουλεύσασα ἔτη τριάκοντα καὶ ἓξ καὶ προβεβηκυῖα τὴν ἡλικίαν, ὡσεὶ χρόνων ἑβδομήκοντα πέντε. Γέγονε δὲ ὁ τρόπος τῆς μαρτυρίας
f. 29v. αὐτῆς οὕτως. Παρὰ τοῦ κατὰ φύσιν παι|δὸς αὐτῆς [3] ὀνόματι Εὐτροπίου, ἐπεὶ ἐνουθέτει αὐτὸν ἀπὸ τῆς τῶν εἰδώλων πίστεως μεταστῆναι, διεβλήθη πρὸς τὸν Διοκλητιανόν· καὶ συλληφθεῖσα πρὸς αὐτὸν ἤχθη καὶ παρρησιασαμένη καὶ ἱκανῶς τῆς ματαιότητος τῶν θεῶν αὐτοῦ κατατελάσασα, τότε μὲν καθείρχθη. Ἐν δὲ τῷ δεσμωτηρίῳ σημεῖα κατεργασαμένη, προστάξει τοῦ βασιλέως ἐνεβλήθη ἐν χαλκῷ λέβητι, πεπληρωμένῳ μολίβδου καὶ πίσσης, ἀναβρασθέντων ὑπὸ τοῦ πυρός. Ἐπεὶ δὲ αὐτῆς [4] βάσανος οὐ περιεγένετο, περιήγετο δὲ διὰ τῆς πόλεως αἰκιζομένη, ἔκ τινος θεοσημείας ὁ Γεμινιανὸς [5] πιστεύσας ἠκολούθει τῇ ἁγίᾳ καὶ μετὰ βραχὺ βαπτισθεὶς υἱοθετήθη αὐτῇ. Προσαχθεὶς δὲ ἅμα τῇ ἁγίᾳ κατὰ πρόσωπον τοῦ βασιλέως, ὑπὲρ τῆς εἰς Χριστὸν ἐπαρρησιάσατο [6] πίστεως· καὶ ἐν τῷ φυλάττεσθαι αὐτοὺς καθειρχθέντας ἐπεὶ ὁ βασιλεὺς ὑποβρύχιος κατά τινα χρείαν διαβαίνων τὸν Θύμβριν [7] ποταμὸν γέγονε καὶ ἐν αὐτῷ τὸν βίον κατέστρεψε, προῖστατο δὲ τῆς ἀσεβείας ἀνὴρ δυσσεβὴς ὀνόματι Πυρροπώγων [8], τρίτου παρελθόντος μηνός, προσήχθησαν αὐτῷ οἱ ἅγιοι καὶ τὴν δυσσέβειαν [9] αὐτοῦ ἐξελέγξαντες, μετέστησαν ὑπὸ θείων ἀγγέλων εἰς Σικελίαν εἰς τὸν τόπον τὸν καλούμενον Ταυρομένιον· καὶ ἐκεῖθεν διελθόντες ἔφθασαν εἰς Μενδίλας [10] καὶ μεστὸν ὄντα πνευμάτων ἀκαθάρτων τὸν τόπον καθάραντες, κατ' ἐπιφάνειαν θείαν ἐκεῖ κατῴκησαν· καὶ πολλοὺς πρὸς θεογνωσίαν ἐπιστρέψαντες [11], ἐπεὶ φθόνῳ τοῦ διαβόλου ἐκινήθη κατὰ τῶν ἐν τῷ τόπῳ πιστῶν διωγμός, ἀνῆλθον αὐτοὶ εἰς τὸ ὄρος, ἐν ᾧ καὶ τὸ μακάριον αὐτῆς πνεῦμα ἡ ἁγία παρέδωκε. Ὁ δὲ ἅγιος Γεμινιανὸς [12] ἔφει τὴν κεφαλὴν τμηθείς, πρὸς Κύριον ἀπὸ τῆς παρούσης ἀπανέστη ζωῆς.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἀθλήσεως τῶν ἁγίων μαρτύρων Χαραλάμπους [1], Παντολέοντος καὶ τῆς συνοδίας αὐτῶν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ αὐτῶν μαρτυρείῳ [2], τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

5. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἡρακλείδου [1] καὶ Μύρωνος ἐπισκόπων Ταμάσου τῆς Κύπρου.

6. Καὶ τῶν ἁγίων γυναικῶν Σοφίας καὶ Εἰρήνης.

3. — [1] Γεμινιανοῦ Sa, Γεμιανοῦ S. — [2] ἐν *add.* Sa, *om.* S. — [3] αὐτῆς παιδὸς Sa. — [4] ἡ *add.* Sa. — [5] ἡ Γεμίνιος S, ὁ Γεμίνιος Sa. — [6] ἐπαρρησιάσετο S. — [7] Θύμαριν Sa. — [8] Πυρωπώγων S. — [9] ἀσέβειαν Sa. — [10] Μυνδίλας Sa. — [11] ἐπιστρέψαντες Sa, ἐπιτρέψαντες S. — [12] Γεμίνιος S.
4. — [1] Χαραλαμπίου Fa. — [2] αὐτῶν *add.* Sa.
5. — [1] Ἡρακλείδου Sa, Ἡρακλίδου S, Ἡρακλήδους Fa.

ἀκούσας ὁ Σιμπλίκιος, κλίβανον ἐκκαυθῆναι προστάσσει. Τούτου δὲ ἐκκαυθέντος καὶ τῆς ἁγίας ἐν τούτῳ ἀκοντισθείσης, ἡ φλὸξ ἐκχυθεῖσα [7] ὡσεὶ τὸν ἀριθμὸν ἑβδομήκοντα ἄνδρας ἐνέπρησεν· οἱ δὲ καταλειφθέντες, τὸν κλίβανον ἀναφράξαντες, ὑπεχώρησαν. Καὶ τῇ ἑξῆς ὁ ἄρχων δύο ἱερεῖς ἀποστείλας μεθ' ἑτέρων τινῶν καὶ [8] τὸν χοῦν τοῦ σώματος αὐτῆς λικμηθῆναι προσέταξεν. Ἀνοιγέντος δὲ τοῦ κλιβάνου, τὸ μὲν πῦρ ἐξελθὸν κατέκαυσε τοὺς δύο ἱερεῖς. Οἱ δὲ λοιποί, ὡς εἶδον τὴν ἁγίαν μέσον δύο <νεανίσκων [9]> λευχειμονούντων καθημένην καὶ ψάλλουσαν, ἐκπλαγέντες ὡσεὶ νεκροὶ γεγόνασιν. Ἐξῆλθε δὲ ἡ ἁγία ἀπὸ τοῦ κλιβάνου ἀβλαβής, χαίρουσά τε καὶ ψάλλουσα· ἣν καὶ λαβόντες ἀπήγαγον ἐν τῇ φυλακῇ. Ἐπεὶ δὲ ἔμελλεν ὁ Σιμπλίκιος ἐπὶ [10] τὸ Βυζάντιον ὁδεύειν, προσέταξε καὶ τὴν ἁγίαν συνακολουθεῖν αὐτῷ δέσμιον [11]. Τούτου δὲ γενομένου καὶ τοῦ Σιμπλικίου ὑποστρέψαντος καὶ ἐν Ἀγκύρᾳ προκαθεσθέντος, ἐδέησε παραστῆναι καὶ [8] τὴν ἁγίαν· πρὸς ἣν καί [8] φησιν ὁ Σιμπλίκιος· « Ἐὰν μὴ » πεισθῇς μοι, καὶ θύσῃς τοῖς θεοῖς, δείξας τῇ χειρί, ἐν ταύτῃ τῇ πεπυρακτωμένῃ σε ἐσχάρᾳ ἀπολέσω. » Ἡ δὲ πρὸς αὐτόν· « Εἰ καὶ ὁ λιβέλλισιος [12] εἰσέλθῃ [13] μετ' ἐμοῦ καὶ τοῦ πυρὸς κυριεύσῃ, θύσω κἀγὼ » τοῖς θεοῖς σου. » Καὶ ὁ Σιμπλίκιος πρὸς τὸν Δωρόθεον (τοῦτο γὰρ ἦν ἐκείνῳ [14] ὄνομα [15])· « Δωρόθεε, » κῦρ λιβελλίσιε, τὴν τῶν θεῶν ἔχων βοήθειαν, εἴσελθε. » Εἰσελθὼν οὖν σὺν τῇ ἁγίᾳ, εὐθὺς παρανάλωμα γέγονε τοῦ πυρός· ἡ δὲ ἐξῆλθεν ἀβλαβής. Ἐξαπορήσας οὖν ὁ ἄρχων, δεσμευθῆναι καὶ αὖθις τὴν ἁγίαν κελεύει καὶ πρὸς Βιθυνίαν [16] ἀπάγεσθαι· καὶ ἐπεὶ τὴν Νίκαιαν κατέλοβον, ἐκέλευσεν ὁ ἄρχων εἰσελθεῖν τὴν ἁγίαν ἐν τῷ εἰδωλείῳ καὶ προσεύξασθαι. Τῆς δὲ περιχαρῶς τοῦτο καταδεξαμένης, τὰ εἴδωλα πάντα εἰς γῆν πεσόντα συνετρίβησαν [17]. Καὶ ὡς [18] ἐξεπλάγησαν οἱ παρευρεθέντες ἰδόντες τὴν τῶν θεῶν συντριβήν, μανεὶς [19] ὁ ἄρχων ἐκέλευσε τεθεῖσαν ἐκ τεσσάρων [20] πρισθῆναι. Καὶ τούτου γενομένου, ὁ μὲν πριστὴρ ἠμβλύνετο [21], μὴ ἔχων τὸ ἐνεργόν· οἱ δὲ δήμιοι ἠτόνουν, καὶ ἡ ἁγία ἄνετος ἦν, εὐχαριστοῦσα τῷ σωτῆρι Θεῷ. Ὁ γοῦν Σιμπλίκιος ἐπὶ πᾶσι τούτοις [22] σκοτισθεὶς τὴν διάνοιαν, τὴν [23] διὰ ξίφους τελευταίαν πληγὴν τῇ μαρτυρι ἀπεφήνατο, καὶ οὕτως [24] ἀπετμήθη τὴν κεφαλήν. — Τῶν ἁγίων μαρτύρων ἑκατόν. — Εἰς τὸν ἅγιον Πηλέα καὶ Νεῖλον τοὺς ἐπισκόπους. — Εἰς τοὺς ἐν Παλαιστίνῃ ἁγίους τεσσαράκοντα ἓξ μάρτυρας (Sept. 19[4]). — 4. 5. — Εἰς τὸν Ἡλίαν καὶ Πατερμούθιον. — **Mv** : 1. 2. — Μαξίμου κτλ. — 3. — Θεοδότης. — Ἑκατὸν μαρτύρων. — Εἰς τὸν ἅγιον Πηλέα καὶ Νεῖλον. — Εἰς τοὺς ἐν Παλαιστίνῃ ἁγίους μς' μάρτυρας. — Εἰς τὸν ἅγιον Πατερμούθιον. — 4. 5. — **Mr** : 1.

— [7] ἐκχυθεῖσα ἡ φλὸξ Mv. — [8] καὶ *om.* Mv. — [9] Mv, *om.* M. — [10] εἰς Mv. — [11] δέσμον Mv. — [12] λιβελλήσιος Mv *semper*. — [13] εἰσέλη Mv. — [14] *om.* Mv. — [15] τῷ λιβελλησίῳ *add.* Mv. — [16] Βυθινίαν M. — [17] κατετρίβησαν Mv. — [18] ὡς *om.* Mv. — [19] οὖν *add.* Mv. — [20] ταθῆναι ... τὴν ἁγίαν καὶ ταθεῖσαν *add.* Mv. — [21] ἠβλύνετο M. — [22] ἐπὶ πᾶσι τούτοις M, ἔτι Mv. — [23] διάνοιαν τὴν *om.* Mv. — [24] οὕτω Mv.

f. 30.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΗ'.

Sept. 18.

1. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Συμεὼν ἐπισκόπου Ἱεροσολύμων. Ὃς ἦν υἱὸς Κλωπᾶ, γνησίου ἀδελφοῦ Ἰωσὴφ τοῦ κατὰ σάρκα λεγομένου πατρὸς τοῦ Κυρίου, ἐξάδελφος δὲ κυρίως Ἰακώβου τοῦ ἀδελφοθέου, εἰ καὶ ἀλλαχοῦ ἀδελφὸς αὐτοῦ ὀνομάζεται, ἔστιν δ' ὅτε καὶ ἀνεψιός. Οὗτος [1] κατηγορηθεὶς ὑπὸ τῶν αἱρετικῶν καὶ τῷ ὑπάτῳ Ἀττικῷ παραστὰς καὶ πολλαῖς αἰκίαις καθυποβληθεὶς καὶ τελευταῖον [2] σταυρῷ προσπαγείς, τῷ Θεῷ τὴν ψυχὴν παρέθετο, ἐτῶν ὑπάρχων ἑκατὸν εἴκοσι.

2. Ἰστέον δὲ ὅτι [1] κυριακῇ μετὰ τὴν ὕψωσιν μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων πατέρων τῶν συνελθόντων ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ἕκτῃ συνόδῳ ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι τῶν πόλεων ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ βασιλέως Κωνσταντίνου τοῦ Πωγωνάτου, υἱοῦ Κωνσταντίνου [2] τοῦ δυσσεβοῦς, δισεκγόνου [3] Ἡρακλείου, πατρὸς δὲ Ἰουστινιανοῦ τοῦ μικροῦ τοῦ τὴν ῥῖνα τμηθέντος, Γεωργίου τότε τὴν Κωνσταντινουπόλεως ἐκκλησίαν ἰθύνοντος καὶ Ἀγάθωνος τῆς Ῥώμης. Ἥτις σύνοδος συνηθροίσθη ἐν τῷ τρούλλῳ [4] τοῦ παλατίου τῷ λεγομένῳ Ὠάτῳ, ἀναθεματίσασα καὶ ἀποβαλοῦσα [5] Σέργιον καὶ Πέτρον καὶ Πύρρον καὶ Παῦλον, ἐπισκόπους γενομένους Κωνσταντινουπόλεως, Μακάριόν τε τὸν Ἀντιοχείας καὶ Κῦρον τὸν Ἀλεξανδρείας καὶ Ὀνώριον τὸν [6] Ῥώμης, Στέφανόν τε καὶ τὸν Πολυχρόνιον καὶ τοὺς σὺν αὐτοῖς μίαν θέλησιν καὶ ἐνέργειαν τῶν δύο φύσεων τοῦ Χριστοῦ [7] φρονοῦντας καὶ λέγοντας [8]· ἥτις ἐπὶ μὲν Κωνσταντίνου συνηθροίσθη· ἡ δὲ τῶν κανόνων ἔκδοσις ἐπὶ Ἰουστινιανοῦ τοῦ υἱοῦ αὐτοῦ <γεγένηται [9]>.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐμενίου ἐπισκόπου Γορτύνης τοῦ θαυματουργοῦ. Οὗτος ἐκ νεότητος ἀσκήσει καὶ πολλαῖς σκληραγωγίαις ἑαυτὸν καθυποβαλών, τὴν ἄκραν ταπείνωσιν ἐκτήσατο, ἀεὶ περιφέρων δάκρυα ἐπὶ τοῦ προσώπου αὐτοῦ καὶ μηδέποτε κατακρίνας μήτε μὴν καταδεξάμενος ἀκοῦσαί τινος κατακρίνοντος· διὸ καὶ χωρητικὸν ὄργανον [1] τοῦ ἁγίου πνεύματος κατασταθέν, τοὺς οἴακας τῆς Γορτυνῶν ἐκκλησίας πιστεύεται· | πολλαῖς τε θαυμάτων πηγαῖς καὶ ἐνεργείαις θεόθεν καταπλουτισθείς, δεινότατον καὶ φοβερώτατον δράκοντα κατ' αὐτοῦ ὁρμήσαντα λαμπάσι κατέφλεξεν. Ἐκεῖθεν τὴν Ῥώμην καταλαβὼν οἷά τις πυρσὸς θείαις διδαχαῖς <τοὺς ἐν αὐτῇ [2]> κατεφώτισε, σημείοις καὶ τέρασι πολλοὺς καταπλήξας· κἀκεῖθεν τὴν Θηβαΐδα καταλαβών, παραυτίκα καὶ μὴ βουλόμενος τοῦ αὐχμοῦ τὴν κατήφειαν καταστέλλει· καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἐκεῖσε πρὸς τὸν Θεὸν ἐκδημεῖ. Οἱ δὲ παῖδες τῶν Θηβαΐων τῇ πατρίδι καὶ ποίμνῃ τὸ τούτου

f. 30'.

1. — [1] μετὰ Ἰάκωβον δεύτερος ἐπίσκοπος Ἱεροσολύμων κατέστη *add.* Sa. — [2] τελευταίω S.
2. — [1] Ἰστέον ὅτι Sa, *ad diem Sept. 14.* — [2] *ita codd.* — [3] δισσεκγόνου S. — [4] τρούλω S. — [5] ἀποβαλλοῦσα S. — [6] τὸν Sa, τῆς S. — [7] τοῦ Χριστοῦ *om.* Sa. — [8] φρονοῦντας καὶ λέγοντας Sa, φρονούντων καὶ λεγόντων S. — [9] γεγένηται *add.* Sa, *om.* S.
3. — [1] δοχεῖον Sa. — [2] τοὺς ἐν αὐτῇ *add.* Sa, *om.* S.

Sept. 18.

SYNAXARIA SELECTA. **Sa** : 1. 3. 5. 4. — **H** : 5. 3. 4. 1 : Συμεών... Τούτου τελεῖται ἡ μνήμη ἡμέρᾳ τετάρτῃ, ὡς δὲ ἡ μεγάλη ἐκκλησία ἑορτάζει, τῇ κυριακῇ μετὰ τὴν ὕψωσιν. — **P** : 5. 3. 4. — **F** : 3. 1. 5. — **Fa** : 3. 1. 5. — **Fb** : 3. 1. 5. — **B** : 1 : Συμεὼν ἐπισκόπου Ἱεροσολύμων. Συμεὼν ὁ ἱερομάρτυς [1] ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Τραϊανοῦ δεύτερος ἐπίσκοπος Ἱεροσολύμων, μετὰ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου. Ἦν δὲ ἐξάδελφος αὐτοῦ τε τοῦ Κυρίου καὶ τοῦ Ἰακώβου, υἱὸς γεγονὼς τοῦ Κλεώπα [2]. Οὗτος γὰρ καὶ Ἰωσὴφ ὁ χρηματίσας κατὰ σάρκα πατὴρ τοῦ Κυρίου μᾶλλον δὲ ὁ νομισθείς [3], ἀδελφοὶ νόμιμοι ἦσαν. Οὗτος δὲ ὁ Συμεὼν κατηγορηθεὶς παρὰ [4] τῶν Ἰουδαίων ὡς κηρύττων τὸν Χριστὸν καὶ κρατηθεὶς ὑπὸ τῶν ἀρχόντων τῶν ἑλλήνων, ἐτύφθη σφοδρῶς. Καὶ πολλαῖς βασάνοις ἐξετασθείς, ἀπεκλείσθη εἰς φυλακήν, λιμῷ καὶ κακουχίᾳ δαπανώμενος. Εἶτα τῆς φυλακῆς ἐκβληθεὶς καὶ πάλιν ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν καὶ μὴ πεισθεὶς σταυρῷ προσηλωθεὶς τὸν βίον ἀπέλιπεν, ὑπάρχων ἐτῶν ἑκατὸν εἴκοσι. Καὶ τὸ μὲν ἱερὸν σῶμα αὐτοῦ παρὰ τῶν συγγενῶν αὐτοῦ παρεδόθη τῇ γῇ· ἡ δὲ μακαρία αὐτοῦ ψυχὴ ἀνελθοῦσα εἰς οὐρανούς, μετὰ τῶν ἁγίων εὐφραίνεται αἰωνίως ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. — 3 : Εὐμενίου, ἐπισκόπου Γορτύνης, τοῦ θαυματουργοῦ. Εὐμένιος ὁ θαυματουργὸς ὑπῆρχεν ἀπὸ νέας ἡλικίας χριστιανὸς εὐλαβὴς καὶ τὸν Θεὸν φοβούμενος. Πλούσιος δὲ ὤν, διεσκόρπιζεν εἰς τοὺς πτωχοὺς πάντα τὰ ὑπάρχοντα αὐτῷ. Αὐτὸς δὲ ἦν νηστεύων καὶ προσευχόμενος πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἐκπληρῶν καὶ τὴν τοῦ μεγάλου ἀποστόλου Παύλου παραίνεσιν. Καὶ γὰρ ἔχαιρε μετὰ χαιρόντων καὶ ἔκλαιε μετὰ κλαιόντων. Ἀεὶ δὲ περιέφερεν ἐπὶ τοῦ προσώπου τὸ δάκρυον. Εἶχε δὲ καὶ τοῦτο ἔργον, τὸ μηδέποτε παραδέξασθαι διαβολὴν κατά τινος ἢ κατακρῖναι ἄνθρωπον. Ἀλλ' εἴποτε καὶ ἤκουσε κατὰ ἀνθρώπου τι πταῖσμα, ἐνόμιζεν, ὅτι αὐτὸς τοῦτο ἐποίησε. Διὰ οὖν τὰ τοιαῦτα αὐτοῦ κατορθώματα ἐκλεγεὶς παρὰ τοῦ κλήρου καὶ τοῦ λαοῦ, προεχειρίσθη ἐπίσκοπος Γορτύνης τῆς Κρητῶν νήσου. Καὶ ζήσας ἐν τῇ ἀρχιερωσύνῃ χρόνους πολλοὺς καὶ πολὺν λαὸν διδάξας τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ θαυμάτων πολλῶν χάριν λαβών, ἐκοιμήθη, θαυματουργῶν καὶ μετὰ θάνατον ἕως τοῦ νῦν. — 5 : Ἀριάδνης. Ἡ μάρτυς Ἀριάδνη ὑπῆρχεν ἐπὶ Ἀδριανοῦ καὶ Ἀντωνίνου τῶν βασιλέων· χριστιανὴ μέν, δούλη δὲ πλουσίου τινὸς πρώτου τῆς χώρας [5] Φρυγίας. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν, γενεθλίων γενομένων [6] τοῦ υἱοῦ κυρίου αὐτῆς, ἠναγκάσθη ἐν τῷ ναῷ τῶν εἰδώλων

[1] (Συμεὼν ὁ ἱερομάρτυς) οὗτος Ba. — [2] Κλοπᾶ Ba. — [3] ὁ νομισθεὶς Ba, ὀνομασθεὶς B. — [4] παρὰ B, ὑπὸ Ba. — [5] πόλεως Ba. — [6] τελουμένων Ba.

σκῆνος παραπέμπουσι (Ῥάξος [3] ὄνομα τῷ τόπῳ), ἥτις καὶ Κυρίλλου τὸ σεπτὸν κατέχει σῶμα.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Κάστορος καὶ τῆς ἁγίας Θεοδώρας. Τελεῖται δὲ ἡ αὐτῆς [1] σύναξις πλησίον τῆς Ἰουστινιανοῦ γεφύρας.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας [1] Ἀριάδνης, ἥτις ἀλλαχοῦ καὶ Μαρία λέγεται. Αὕτη ἐπὶ Ἀδριανοῦ καὶ Ἀντωνίνου τῶν βασιλέων ἤθλησεν, δούλη τινὸς χρηματίσασα Τερτύλου ὀνομαζομένου, πρώτου ὄντος τῆς Πρυμισέων πόλεως Φρυγίας Σαλουταρίας. Κατέστη δὲ ὑπὸ τοῦ κυρίου αὐτῆς εἰς μαρτύριον διὰ τὸ [2] τὸν Χριστὸν σέβεσθαι [3] καὶ μὴ θελῆσαι ἐπὶ τοῖς γενεθλίοις τοῦ παιδὸς τοῦ κυρίου αὐτῆς συνεορτάσαι ἐν τῷ ναῷ τῶν εἰδώλων καὶ συνευωχηθῆναι. Διὸ καὶ ξεσθεῖσα σφοδρῶς τότε μὲν ἀφείθη· ἐπειδὴ δὲ πάλιν ἐδιώκετο ὑπὸ τοῦ ἡγεμόνος, πέτρᾳ τινὶ πλησιάσασα ηὔξατο ῥυσθῆναι καὶ θείᾳ νεύσει ῥαγείσης τῆς πέτρας, μέσον αὐτῆς εἰσεδέχθη [4], τῶν διαρρηγμάτων αὖθις εἰς ἓν συνελθόντων. Λέγεται δὲ τοὺς ἀνελθόντας προστάξει τοῦ ἡγεμόνος τὴν πέτραν τεμεῖν [5] καὶ τὴν ἁγίαν ἐξάξαι ἐξ ἐπιφανείας ἀγγέλων ἐφίππων δόρατα κατεχόντων διαφθαρῆναι καὶ ἀπολέσθαι.

Sept. 18.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΙΘ'.

1. Μνήμη [1] τῶν ἁγίων μαρτύρων Τροφίμου, Σαββατίου καὶ Δορυμέδοντος [2]. Οὗτοι ὑπῆρχον ἐπὶ τῆς βασιλείας Πρόβου· καὶ ὁ μὲν Σαββάτιος ἐπὶ τῆς πόλεως Ἀντιοχείας τῆς Πισιδίας [3] ἠγωνίσατο, παραστὰς τῷ Βικαρίῳ· καὶ τυφθεὶς καὶ ξεσθεὶς καὶ ἐν φυλακῇ εἱρχθείς, ἐν αὐταῖς ταῖς βασάνοις παρέδωκε | τὸ πνεῦμα. Ὁ δὲ Τρόφιμος κρηπῖσι σιδηραῖς ὑποδεθεὶς καὶ τοῖς ἐν αὐταῖς ἥλοις ἐμπαρείς, ἀπεστάλη Περινίῳ Διονυσίῳ ἡγεμόνι Φρυγίας Σαλουταρίας ἐν τῇ νῦν τῶν Συνάδων [4] μητροπόλει· καὶ ἐν αὐτῇ τὰς πολλὰς ἐπινοίας τοῦ τυράννου, ἃς ἐπήγαγε [5], τῇ στερρότητι κενὰς ἔδειξε· καὶ τὸν Δορυμέδοντα κοινωνὸν τῆς ἀθλήσεως προσλαβὼν καὶ μετ' αὐτοῦ αὖθις ἱκανῶς ἐναθλήσας, ἀπετμήθη τὴν κεφαλήν, τὸ αὐτὸ τέλος καὶ τοῦ ἁγίου Δορυμέδοντος λαβόντος. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου ἀποστόλου Παύλου ἐν τῷ ὀρφανοτροφείῳ.

Sept. 19.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας ὁσιομάρτυρος Σωσάννης. Αὕτη ὑπῆρχεν ἐκ Παλαιστίνης, θυγάτηρ τυγχάνουσα Ἀρτεμίου τοῦ ἱερέως τῶν εἰδώλων καὶ Μάρθας ἐκ τῶν [1] Ἰουδαίων καταγομένης. Ἥτις μετὰ τελευτὴν τῶν γονέων [2] ἐβαπτίσθη ὑπὸ Σιλβανοῦ τοῦ πρεσβυτέρου καὶ ἐδιδάχθη παρ' αὐτοῦ τὸν λόγον τοῦ Θεοῦ. Εἶτα τὸν πλοῦτον αὐτῆς δοῦσα τοῖς πτωχοῖς καὶ τὸν κόσμον καταλιποῦσα, ἀπῆλθεν ἐν μοναστηρίῳ· καὶ γέγονε μονάζουσα μετασχηματισθεῖσα ἐν ἀνδρείῳ [3] σχήματι καὶ μετακληθεῖσα Ἰωάννης· καὶ ποτε κατηγο-

f. 31.

— [3] Ῥάξος S, Ῥαξὸς Sa, Ράξας Fa.
4. — [1] ἡ αὐτῶν Sa.
5. — [1] μάρτυρος *add.* Sa. — [2] τὸ *supra lin. corr.* Sa. — [3] σεύσθαι S. — [4] εἰσήχθη Sa. — [5] τοῦ τεμεῖν τὴν πέτραν Sa.
1. — [1] ἄθλησις Sa. — [2] Δοριμέδοντος καὶ Σαββατίου Sa, *scribendum cum* S Δορυμέδοντος *patet ex Passionibus horum sanctorum.* — [3] Πισσιδίας S. Sa. — [4] Συνάδων S, Sa, *ita quoque Passio in* Act. SS. *Sept. VI, p. 12 sqq. Cf.* Pape-Benseler, *s. v.* Σύνναδα. — [5] ἐπήγαγεν αὐτῷ Sa.
2. — [1] τῶν Sa, τοῦ S. — [2] αὐτῆς *add.* Sa. — [3] ἀνδρίῳ Sa.

ἀπελθεῖν [7] μετ' αὐτῶν [8] καὶ συνεορτάσαι αὐτοῖς. Μὴ πεισθεῖσα δέ, ἐτύφθη ἀνηλεῶς καὶ ἐνεβλήθη [9] εἰς φυλακὴν καὶ ἐλιμοκτονήθη ἰσχυρῶς. Εἶτα τῆς φυλακῆς ἐκβληθεῖσα, παρεδόθη τῷ τῆς χώρας ἄρχοντι, ἐπὶ τῷ τιμωρηθῆναι. Καὶ ὑπ' ἐκείνου πάλιν ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεῖσα, ἐκρεμάσθη καὶ τὰς πλευρὰς ἐξέσθη. Ἀπολυθεῖσα δὲ τῆς φυλακῆς [10] καὶ εὑροῦσα διωρίαν, πρὸς τὸ ὄρος ἐξέδραμε φεύγουσα. Γνόντες δὲ τοῦτο οἱ στρατιῶται, κατεδίωκον αὐτὴν μετὰ ξιφῶν. Καὶ ἰδοῦσα, ὅτι καταφθάζεται [11], ηὔξατο πρὸς τὸν Θεὸν λυτρωθῆναι ἀπ' αὐτῶν. Καὶ σχισθείσης πέτρας προστάγματι Θεοῦ, εἰσῆλθεν ἐν αὐτῇ, τῆς πέτρας πάλιν ἀσφαλισθείσης καὶ κρυψάσης αὐτὴν ἔσωθεν· καὶ [12] οὕτως εὐχαριστοῦσα ἐτελειώθη. — **Ba** : 3. 1. 5. — **Bb** : 1. 3. 5. — **T** : 3. — **L** : 3. 4. 1. 5. — **O** : 3. 5. — **G** : 3. 1. — **C** : 1. 3. 5. 4. — **Cb** : 1. 3. 5. 4. — **M** : 3. — Σοφίας καὶ Εἰρήνης (Sept. 17[6]). — 5 (Ἀριάνης). — 1. 4 (Κάστορος tantum). — **Mv** : 3. — Σοφίας καὶ Εἰρήνης (Sept. 17[6]). — 5. 1. 4 (Κάστορος). — **Mr** : 2.

Sept. 18.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. add. : Τελεῖται δὲ ἡ αὐτῆς μνήμη ἐν τῇ γυναικείᾳ μονῇ αὐτῆς τῇ οὔσῃ πλησίον τοῦ πατρικίου Θεοδοσίου. — 3. 4. 5. 6. 7. — **H** : 1. 3. 4 (Ἀπηλέως, Νείλου κτλ.). — 7. 8. — **P** : 3 : τοῦ ἁγίου ἱερομάρτυρος Ἰανουαρίου, Βενεβέντου καὶ τῆς συνοδίας αὐτῶν, Ὄσσου διακόνου πόλεως Μεσσήνης, Πρόκλου διακόνου πόλεως Ποτέλης, Εὐτυχίου τε καὶ Ἀκουστίου διακόνου καὶ τῶν κληρικῶν αὐτοῦ Φαύστου καὶ Δισιδερίου ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Τιμοθέου Ἀρχικαμπάνων χώρας [1]. — 1. 4 (Ἀπήλεως, Νείλου ... ἐν Καισαρείᾳ). — **F** : 1. 3. 4. — **Fa** : 1. 3. 4. — **Fb** : 1. 3. 4. — **B** : 1. 3. 4. — **Ba** : 1. 3. 4. — **Bb** : 1. 3. 4. — **T** : 1. — **L** : 1. 3. 4. 7. 8. — **O** : 1. — **G** : 1. — **C** : 1 : Τροφίμου, Δορυμέδοντος καὶ Σαββατίου. Οὗτοι οἱ ἅγιοι μάρτυρες ὑπῆρχον ἐπὶ τῆς βασιλείας Πρόβου. Καὶ ὁ μὲν Τρόφιμος καὶ Σαββάτιος εἰσελθόντες εἰς τὸ στάδιον τοῦ θεάτρου τῆς πόλεως Ἀντιοχείας τῆς Πισιδίας καὶ ἰδόντες τοὺς ἕλληνας θύοντας τοῖς εἰδώλοις, προσηύξαντο πρὸς τὸν Θεὸν λυτρωθῆναι αὐτοὺς ἐκ τῆς πλάνης. Κρατηθεὶς δὲ ὁ Τρόφιμος παρὰ Βικαρίου τοῦ τῆς πόλεως ἄρχοντος, τύπτεται, εἶτα ξέεται καὶ ἐμβάλλεται εἰς φυλακήν. Μετὰ δὲ τὸν Τρόφιμον ἄγεται Σαββάτιος. Καὶ ὁμολογήσας τὸν Χριστὸν καὶ αὐτὸς βασανιζόμενος καὶ ξεόμενος παρέδωκε τὸ πνεῦμα. Τρόφιμος

Sept. 19.

— [7] εἰσελθεῖν Ba. — [8] μετ' αὐτῶν *om.* Ba. — [9] ἐβλήθη Ba. — [10] βασάνου Ba. — [11] Ba, κατασφάζεται B. — [12] καὶ Ba, ἕως B.
[1] *Singula paene nomina a scriptore corrupta, aliis collatis codd. lector facile corriget.*

Sept. 19. ρηθεῖσα παρὰ γυναικός τινος, ὅτι τὰ ἀνδρὸς εἰς αὐτὴν διεπράξατο, καὶ ἀνερευνηθεῖσα παρὰ παρθένων καὶ εὑρεθεῖσα φύσει γυνὴ καὶ ἐλέγξασα τὴν κατήγορον, εἶτα ἀπελθοῦσα εἰς Ἐλευθερόπολιν καὶ καταστᾶσα διακόνισσα παρὰ τοῦ ἐκεῖ[4] ἐπισκόπου, ἐκρατήθη παρὰ Ἀλεξάνδρου ἡγεμόνος· καὶ πολλὰ τιμωρηθεῖσα, εἶτα εἰς φυλακὴν ἐμβληθεῖσα, ἐτελειώθη[5].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Ἰαννουαρίου ἐπισκόπου Βενεβενδοῦ, καὶ Σόσσου[1] καὶ Πρόκλου[2] διακόνων πόλεως Ποτιόλων, Εὐτυχίου[3] καὶ Ἀκουστίου[4] καὶ αὐτῶν διακόνων, καὶ κληρικῶν Φαύστου καὶ Δησιδερίου[5]. Οὗτος ὁ ἅγιος Ἰαννουάριος ἦν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐπίσκοπος Βενεβενδοῦ[6]· ἤχθη δὲ εἰς μαρτυρίαν Τιμοθέῳ ἄρχοντι τῆς
f. 31v. Καμπανῶν χώρας, καταλαβόντι τὴν πόλιν Ποτι|όλων καὶ εὑρόντι τὸν ἅγιον ἐν φυλακῇ προδεδεσμημένον παρ' ἑτέρου ἄρχοντος μετὰ Σόσσου, Πρόκλου[7], Εὐτυχίου καὶ Ἀκουστίου[8] τῶν διακόνων· ὑφ' οὗ καὶ εἰς κάμινον πυρὸς ἐμβληθεὶς καὶ ἐξελθὼν ἀβλαβής, εἶτα νευροκοπηθεὶς καὶ εἰς φυλακὴν αὖθις ῥιφεὶς καὶ προαχθεὶς καὶ θηρίοις ἐπιδοθεὶς μετά τε τῶν προρρηθέντων διακόνων καὶ τῶν δύο κληρικῶν, τῶν εἰς ἐπίσκεψιν αὐτοῦ ἐλθόντων, ὕστερον τὴν κεφαλὴν ἀποτέμνεται μετὰ τῆς συνοδίας αὐτοῦ.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων Πηλέως[1], Νείλου, Παθερμουθίου, Ἠλία καὶ τῶν σὺν αὐτοῖς ἑκατὸν πεντήκοντα. Τούτων οἱ μὲν ἑκατὸν ἀπ' Αἰγύπτου ὁρμώμενοι, διὰ τὴν εἰς Χριστὸν ἀγάπην τοὺς δεξιοὺς ἐξορυχθέντες ὀφθαλμοὺς καὶ τὰς τῶν ἀριστερῶν ποδῶν ἀγκύλας[2] ξίφει διατμηθέντες καὶ πυρὶ καταφλεγέντες, τῇ τῶν μετάλλων κακοπαθείᾳ παρεδόθησαν. Οἱ δὲ πεντήκοντα ἐκ Παλαιστίνης· οἱ[3] τὰ ὅμοια παθόντες ἐπὶ τῆς χώρας Ζωώρας, ἐν ταῖς ἐργασίαις τῶν μετάλλων[4] βληθέντες καὶ[5] ὕστερον προσαχθέντες τῷ δουκὶ καὶ μὴ πεισθέντες, τῷ πυρὶ παραδοθέντες ἐτελειώθησαν.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Τιμοθέου τοῦ ἐν Γάζῃ. Ὃς ὑπῆρχεν ἐκ Παλαιστίνης.

6. Καὶ τῶν ἁγίων μαρτύρων Ἀγαπίου καὶ Θέκλας.

7. Καὶ μνήμη Ἰησοῦ τοῦ Ναυῆ, περὶ οὗ προεγράφη ἐν τῇ πρώτῃ τοῦ παρόντος μηνός.

8. Καὶ τὰ ἐγκαίνια τῆς ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Ἀμαντίου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κ'.

Sept. 20. **1.** Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος[1] Εὐσταθίου καὶ[2] Θεοπίστης καὶ τῶν τέκνων αὐτῶν Θεοπίστου καὶ Ἀγαπίου. Οὗτοι ἐπὶ τῆς βασιλείας Τραϊανοῦ ὑπῆρχον, Ῥωμαῖοι τῷ γένει,

— [4] ἐκεῖσε Sa. — [5] τελεῖται κτλ. *add.* Sa, *inter* Synaxaria selecta.

3. — [1] Σώσου Fa, Sossius *seu* Sosius *in Actis latinis. Cf.* G. Scherillo, Esame di un codice greco pubblicato nel tomo secondo della Bibliotheca Casinensis, *Napoli, 1876, p. 143 et passim.* — [2] Προκούλου Sa, *latine* Proculus. — [3] Eutices *latine.* — [4] Διακουτίου Sa, *latine* Acutius. — [5] Δισιδηρίου S. Sa, Δεισιδερίου C. — [6] Βενεβενδῶν Sa. — [7] Προκούλου Sa. — [8] Ἀκουτου Sa.

4. — [1] Πηλέως Sa, Πιλέως S. — [2] ἀγκύλας Sa, ἀγγύλας S. — [3] ἐκ Παλαιστίνης ὄντες Sa. — [4] μετάλων S. — [5] καὶ *om.* Sa.

1. — [1] μάρτυρος Sa. — [2] τῆς αὐτοῦ γυναικὸς *add.* Sa.

Sept. 19. δὲ ὑποδεθεὶς ὑποδήματα σιδηρᾶ, ἀπεστάλη Διονυσίῳ ἄρχοντι τῆς τῶν Συνάδων πόλεως. Ὅστις καὶ τιμωρησάμενος αὐτόν, ἔβαλεν εἰς φυλακήν. Ὁ δὲ ἅγιος Δορυμέδων ὑπῆρχε πρῶτος τῆς πόλεως. Καὶ ἰδὼν τὸν ἅγιον Τρόφιμον καὶ ἀπελθὼν πρὸς αὐτὸν ἐν τῇ φυλακῇ, ἐδιδάχθη παρ' αὐτοῦ τὸν λόγον τῆς ἀληθείας. Μαθὼν δὲ ταῦτα ὁ ἄρχων καὶ ἀμφοτέρους ἐξαγαγὼν καὶ πολλὰ κολάσας ἀπεκεφάλισεν αὐτούς. — 3: Ἰαννουαρίου ἐπισκόπου Βενεβενδῶν καὶ τῆς συνοδίας αὐτοῦ Σώσσου καὶ Πρόκλου τῶν διακόνων πόλεως Ποτιόλων καὶ Εὐτυχίου καὶ Ἀκουστίου τῶν διακόνων καὶ τῶν κληρικῶν αὐτοῦ Φαύστου καὶ Δεισιδερίου[2]. Οὗτος ὁ ἅγιος μάρτυς Ἰαννουάριος ὑπῆρχε μετὰ τῆς συνοδίας αὐτοῦ ἐπὶ Διοκλητιανοῦ βασιλέως καὶ Τιμοθέου ἄρχοντος τῆς Καμπανῶν χώρας, ἐπίσκοπος Βενεβενδῶν. Ὅστις ἄρχων καταλαβὼν τὴν πόλιν Ποτιόλων, εὗρεν ἐν δεσμοῖς κατεχόμενον τὸν ἅγιον Ἰαννουάριον ἐν τῇ φυλακῇ μετὰ Σώσσου καὶ Πρόκλου[3], Εὐτυχίου καὶ Ἀκουστίου τῶν διακόνων, ἤδη ἐγκλεισθεισθέντα[4] παρ' ἑτέρου τυράννου, ὅντινα ἐξαγαγὼν τῆς φυλακῆς ὁ Τιμόθεος, ἐνέβαλεν εἰς κάμινον πυρός· καὶ ἐξῆλθεν ἀβλαβής. Εἶτα νευροκοπεῖται καὶ πάλιν ἐμβάλλεται εἰς φυλακήν. Ἐλθόντες δὲ εἰς ἐπίσκεψιν αὐτοῦ ἐκ Βενεβενδῶν[5] δύο κληρικοὶ αὐτοῦ, ἐκρατήθησαν καὶ αὐτοὶ καὶ συνεδέθησαν τῷ ἁγίῳ. Εἶτα ἐκβληθέντες καὶ θηριομαχήσαντες καὶ μηδὲν ἀδικηθέντες, ἔλαβον τὴν διὰ ξίφους ἀπόφασιν. Καὶ οὕτως ἀπεκεφαλίσθησαν καὶ παρέδωκαν τῷ Κυρίῳ, ὑπὲρ οὗ καὶ ἀπέθανον, τὰς ἁγίας αὐτῶν καὶ μακαρίας ψυχάς. — 4: Ἀπηλαίου, Νείλου, Πατερμουθίου[6], Ἠλία καὶ τῆς συνοδίας αὐτῶν. Τούτων τῶν ἁγίων μαρτύρων οἱ μὲν ἑκατὸν ὑπῆρχον ἐκ τῆς Αἰγύπτου. Οἵτινες πιστεύσαντες καὶ τὸν Χριστὸν ὁμολογοῦντες τοὺς δεξιοὺς ἐξωρύχθησαν ὀφθαλμοὺς καὶ τῶν ἀριστερῶν ποδῶν τὰς ἀγκύλας σὺν τοῖς νεύροις ξίφει διεκόπησαν. Εἶτα ἐμβληθέντες εἰς κάμινον πυρός, κατεκάησαν. Οἱ δὲ πεντήκοντα ἐγένοντο ἐκ τῆς Παλαιστίνης· οἵτινες τὰ ὅμοια παθόντες ἐπὶ τῆς χώρας τῆς λεγομένης Ζωώρας καὶ ἐν ταῖς ἐργασίαις τῶν μετάλλων βληθέντες, ὕστερον καὶ αὐτοὶ προσαχθέντες τῷ δουκὶ καὶ τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν μετὰ παρρησίας τρανῶς ἀνακηρύξαντες καὶ ὁμολογήσαντες Θεὸν ὄντα καὶ κύριον τῶν ὅλων, πυρὶ παρεδόθησαν καὶ οὕτως ἐτελειώθησαν. — **Cb** : 1. 3. 4. — **M** : 1. 2. — **Mv** : 1. 2. — **Mr** : 1.

Sept. 20. SYNAXARIA SELECTA. **Sa** : 1. 2 (in margine adscript.). 3. 4. — **H** : 1. 2. — **P** : 1 : Εὐσταθίου τοῦ στρατηλάτου καὶ τῶν υἱῶν αὐτοῦ Ἀγαπίου καὶ Θεοπίστης τῆς τούτων μητρὸς καὶ γυναικὸς αὐτοῦ

— [2] *Cf. supra apparatum ad* S. — [3] Πρώκλου C. — [4] ἤδει ἐγκλεισθεὶς C. — [5] Βενεβένδων C. — [6] Πατερμουθείου C.

ἕλληνες τῇ θρησκείᾳ. Ἐκαλεῖτο δὲ ὁ μὲν Εὐστάθιος Πλακίδας πρὸ τοῦ πιστεῦσαι, τῇ τοῦ στρατιώτου[3] ἀξίᾳ τετιμημένος, ἡ δὲ γυνὴ αὐτοῦ Τατιανή. Ἐπεὶ δὲ ἐξ ἐπιφανείας τοῦ Χριστοῦ τῇ τῶν χριστιανῶν πίστει προσῆλθον (ὡς γὰρ ὁ Παῦλος, οὕτω καὶ ὁ Εὐστάθιος οὐρανόθεν τὴν κλῆσιν ἐδέξατο, ἀγαθὸς ὢν τοῖς τρόποις καὶ τοῖς
f. 32. ἐνδεέσι τὰ πρὸς χρείαν ἐ|παρκῶν), ἐξ ἐπιβουλῆς τοῦ πονηροῦ δαίμονος παραχωρήσει Θεοῦ καὶ δοκιμῇ μυρίαι διαδέχονται τούτους συμφοραί, στέρησις τῶν ὄντων, διάζευξις ἀπ' ἀλλήλων, τῆς[4] μὲν κατὰ τὸν ἀπόπλουν τῶν νηπίων δὲ κατὰ τὸν ποταμόν, ἐν τῷ διαπερᾶν θηρίων μερισαμένων αὐτά[5]. Εὐστάθιος δὲ ἐπὶ τῆς ἀλλοτρίας τῶν φιλτάτων[6] ἔρημος προσαίτης γίνεται πεντεκαίδεκα χρόνους. Ἐπεὶ δὲ Θεοῦ προνοίᾳ παρὰ βασιλέως ζητηθεὶς καὶ εὑρεθεὶς εἰς τὴν ἀρχαίαν ἐπανῆλθεν εὐδαιμονίαν, γυναικί τε καὶ τέκνοις ἀναγνωρισθεὶς[7] καὶ τρόπαια στησάμενος μέγιστα κατὰ πολεμίων, εἰς Ῥώμην αὖθις ἀνθυποστρέφει· καὶ θυσίαν τοῖς εἰδώλοις διὰ ταῦτα προσενεγκεῖν ἀναγκασθεὶς[8] παρὰ Ἀδριανοῦ[9] καὶ μὴ πεισθείς, ταύρῳ χαλκῷ πυρωθέντι βάλλεται συνάμα γυναικὶ καὶ τοῖς τέκνοις· καὶ οὕτως ἐτελειώθη αὐτῶν ἡ μαρτυρία. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Θαλελαίου[1] καὶ Ἀρτεμιδώρου[2]. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν, τῷ ὄντι ἔνδον τοῦ ἁγίου Θεοδώρου ἐν τῷ Κοσμιδίῳ. Sept. 20.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις[1] τοῦ μεγίστου ἐν ὁμολογηταῖς Ἰωάννου τοῦ Αἰγυπτίου, οὗτινος τὴν παρρησίαν μὴ ἐνεγκὼν ὁ παράνομος Μαξιμιανὸς ἐκέλευσεν ἀναιρεθῆναι[2] μετὰ[3] ἑτέρων τεσσαράκοντα.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων πατέρων ἡμῶν[1] καὶ ὁμολογητῶν Ὑπατίου καὶ Ἀνδρέου. Οὗτοι χώρας μὲν ἐτύγχανον τῶν Θρᾳκησίων, ὥρμηντο δὲ τῆς ἐπαρχίας Λυδῶν[2] καὶ ἔν τινι φροντιστηρίῳ παῖδες ὄντες φοιτήσαντες, τὸν μονήρη βίον ἠσπάσαντο· καὶ Ὑπάτιος μὲν τὸ τῶν μοναχῶν σχῆμα ὑπῆλθεν, Ἀνδρέας δὲ τὸν ἀποστολικὸν κλῆρον ποθήσας ἱεροκήρυξ τῆς ἐκκλησίας κατέστη· οὐ νηστείαις δὲ μόνον καὶ ἀγρυπνίαις καὶ προσευχαῖς τῶν ἄλλων ἀδελφῶν ἐκράτουν, ἀλλὰ καὶ πάσης ταπεινοφροσύνης καὶ ἀγάπης ὑπῆρχον ἀνάπλεω[3]. Μαθὼν δὲ τὰ περὶ αὐτῶν ὁ πρόεδρος Ἐφέσου καὶ πρὸς ἑαυτὸν ἀγαγών, Ὑπάτιον μὲν ἐπίσκοπον χειροτονεῖ, Ἀνδρέαν δὲ πρεσβύτερον. Ἐπεὶ δὲ ὁ τῆς ἀσεβείας ἀρχηγὸς καὶ μισάγιος βασιλεὺς Λέων ὁ Ἴσαυρος ἀνέμαθε τὰ περὶ αὐτῶν, αὐτίκα ἐκ τῆς Λυδίας | πρὸς τὴν βασιλεύουσαν f. 32v.

— [3] στρατηλάτου Sa. — [4] τῆς Sa, ταῖς S. — [5] αὐτὰ Sa, αὐτῶν S. — [6] γενόμενος *add.* Sa. — [7] ἀναγνωρισθεὶς Sa, ἀγνωρισθεὶς S. — [8] καταναγκασθεὶς Sa. — [9] τοῦ βασιλέως Ἀδριανοῦ Sa.

2. — [1] Θαλαλαίου Sa. — [2] Ἀρτεμιδόρου S, Ἀρταιμιδώρου Sa.

3. — [1] τοῦ ἁγίου καὶ *add.* Sa. — [2] *corr.* S, *prius* ἀφαιρεθῆναι. — [3] καὶ *add.* Sa.

4. — [1] ἡμῶν *om.* Sa. — [2] Λυδῶν Sa, Λίδων S. — [3] ἀνάπλεοι Sa.

ἐπὶ Τραϊανοῦ βασιλέως ἐν τῇ Ῥωμαίων πόλει. — Τῆς ἁγίας Θεοτόκου. — 2. — **F** : 1. 4. — **Fa** : 1. 4. — **Fb** : 1. 4. — **T** : 1. — **B** : Σωσάννης (Sept. 19[2]). — 1. — **Ba** : Σωσάννης. — 1 (contuli cum C). — Ἰσαακίου καὶ Μελετίου (cf. Sept. 21[5], hic vero dies mensis supra rasuram scriptus). — 4. 3 : τοῦ ἁγίου Ἰωάννου καὶ ὁμολογητοῦ τοῦ Αἰγυπτίου. Οὗτος σὺν τῷ μακαρίῳ Σιλβανῷ τῷ ἐπισκόπῳ καὶ τοῖς σὺν αὐτῷ τελειωθεὶς ἐννέα μάρτυσι, τῇ ἀρετῇ καὶ πρὸς Θεὸν ζήλῳ ὑπερέχων καὶ ἤθους καὶ βίου φιλοσόφου τυγχάνων καὶ πᾶσαν γραφὴν ἐπὶ στόματος ἔχων, τῷ Μαξιμιανῷ παραστὰς τῶν ὄψεων πρῶτον ἐστέρηται καὶ τὰς ὁράσεις ἐκκέκαυται. Καὶ πλείονι παρρησίᾳ χρώμενος ὁμολογῶν τὸν Χριστόν, καυτῆρσι τὸν πόδα ἀφανισθεὶς καὶ ἐμμένων[1] τῇ ὁμολογίᾳ Χριστοῦ ἀκλινής, κελεύσει τοῦ Μαξιμιανοῦ τὴν κάραν ἀποτέμνεται μεθ' ἑτέρων ἁγίων τὸν ἀριθμὸν τεσσαράκοντα. — Εὐσεβίου, Νεστάβου κτλ. (= S, Sept. 21[4]). — Θεοδώρου τοῦ ἐν Πέργῃ (Sept. 21[3]). — **Bb** : Σωσάννης. — 1. — **L** : 1. 2. — **O** : 1. — **G** : 1. 4. — **C** : 1 : Εὐσταθίου τοῦ στρατηλάτου καὶ Θεοπίστης τῆς αὐτοῦ γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ Ἀγαπίου καὶ Θεοπίστου. Οὗτος ὁ ἅγιος Εὐστάθιος[2] ὑπῆρχε στρατηλάτης ἐν τῇ Ῥωμαίων πόλει[3] ἐπὶ τῆς βασιλείας Τραϊανοῦ[4] καὶ ἐκαλεῖτο πρότερον μὲν αὐτὸς[5] Πλακίδας, ἡ δὲ γυνὴ αὐτοῦ Θεοπίστη[6], Τατιανή· πλούσιος ὑπάρχων σφόδρα καὶ ποιῶν ἐλεημοσύνας εἰς τοὺς πτωχοὺς ἔτι ἕλλην ὤν[7]. Κυνηγούντι δὲ[8] αὐτῷ μετὰ καὶ ἑτέρων στρατιωτῶν[9], ἐφάνη αὐτῷ ἔλαφος μεγάλη καὶ κατεδίωκεν αὐτήν[10]. Ἤδη δὲ μέλλων καταφθάσαι αὐτήν, βλέπει ἐπὶ τῶν κεράτων αὐτῆς τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν λάμποντα ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου[11] καὶ μέσον τῶν κεράτων[12] τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ[13] Χριστοῦ. Καὶ φωνήσας ἀνθρωπίνῃ φωνῇ ὁ ἔλαφος εἶπεν[14]· «Ὦ Πλακίδα, τί με διώκεις; » ἐγώ εἰμι Ἰησοῦς[15] Χριστός. » Εἶτα[16] βαπτισθεὶς[17], τοσοῦτον ἐπολεμήθη παρὰ[18] τοῦ διαβόλου, ὥστε[19] πάντα[20] τὸν πλοῦτον αὐτοῦ[21] ἀπολέσαι[22] καὶ τὴν γυναῖκα αὐτοῦ αἰχμάλωτον ἰδεῖν καὶ τὰ παιδία αὐτοῦ ὑπὸ θηρίων ἁρπασθέντα[23] καὶ ἑαυτὸν[24] ἐπὶ ξένης πτωχόν· ζητηθῆναι δὲ[25] παρὰ τοῦ βασιλέως καὶ ἀπολαβεῖν[26] τὴν προτέραν ἀξίαν[27] καὶ πάλιν εὑρεῖν τὴν γυναῖκα καὶ τὰ παιδία. Μεθ' ὧν ἀναγκα-

55 [1] ἐν μένων Ba. — [2] ὁ ἅγιος E. *om.* Ba. — [3] ἐν τῇ Ῥωμῃ στρατηλάτης Ba. — [4] ἐπὶ Τραιανοῦ τοῦ βασιλέως Ba. — [5] λεγόμενος αὐτὸς μὲν Ba. — [6] Θεοπίστη *om.* Ba. — [7] (πλούσιος - ὤν) διὰ δὲ τὴν ἐλεημοσύνην αὐτοῦ ἠθέλεσεν ὁ Θεὸς σῶσαι αὐτὸν Ba. — [8] γὰρ Ba. — [9] μετὰ - στρατιωτῶν *om.* Ba. — [10] ἐφάνη ὁ Χριστὸς ἐν σχήματι ἐλάφου Ba. — [11] (ἤδη - ἡλίου) ἔχοντος ἐπὶ τῶν κεράτων σταυρὸν λάμποντα ὑπὲρ τὸν ἥλιον Ba. — [12] τῶν κεράτων *om. hic* Ba. — [13] κυρίου ἡμῶν Ἰησοῦ *om.* Ba. — [14] (καὶ - εἶπεν) καὶ ἐξῆλθεν φωνὴ ἐκ τοῦ ἐλάφου λέγουσα Ba. — [15] ὁ *add.* Ba. — [16] πιστεύσας οὖν αὐτῷ
60 καὶ Ba. — [17] σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις *add.* Ba. — [18] ὑπὸ Ba. — [19] ὡς Ba. — [20] μὴ μόνον Ba. — [21] *om.* Ba. — [22] ἀλλὰ *add.* Ba. — [23] ἁρπαγέντα Ba. — [24] γυμνὸν *add.* Ba. — [25] (ξένης - δὲ) ξένης μισθαρνοῦντα καὶ τρεφόμενον· ὁ δὲ Θεὸς πάλιν ἐχαρίσατο αὐτῷ καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τὸν πλοῦτον· ζητηθεὶς γὰρ Ba. — [26] (καὶ - ἀπολαβεῖν) ἀπέλαβε Ba. — [27] τὸ πρότερον ἀξίωμα Ba.

Sept. 20. αὐτοὺς μετεστείλατο· καὶ εὐθέως τῇ εἱρκτῇ ἐναπερρίφησαν· εἶτα χερσὶ παλαμναίαις ἑλκόμενοι καὶ σπαραττόμενοι καὶ ξύλοις[4] τὰ σώματα τυπτόμενοι, ἡμιθνῆτες κατέπεσον· καὶ μεθ' ἡμέρας πάλιν ξυρῷ ἀποσύρονται τὸ δέρμα τῆς κεφαλῆς καὶ τὰς ἐπὶ τῶν σανίδων εἰκόνας πυρπολουμένας ἄνωθεν τῶν κρανίων δέχονται καὶ πίσσῃ χρισθέντες τὰς γενειάδας καὶ διὰ μέσου συρέντες τῆς πόλεως, ἐπὶ τὰ μέρη τοῦ[5] Ξηρολόφου κατασφάττονται, ῥιφθέντες βορὰ τοῖς κυσίν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΑ'.

Sept. 21. **1.** Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Ἰωνᾶ. Οὗτος ἦν υἱὸς τοῦ Ἀμαθὶ ἀπὸ Γὲτθ[1] ἐκ γῆς Καριαθιαρεὶμ[2] πλησίον Ἀζώτου πόλεως ἑλλήνων· καὶ ἐκβρασθεὶς ἐκ τοῦ κήτους ἀπελθὼν ἐν Νινευῖ[3] καὶ κηρύξας καὶ ἀνακάμψας οὐκ ἔμεινεν ἐν τῇ γῇ αὐτοῦ· ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ παρῴκησεν ἐν τῇ Ἀσοῦρ[4] χώρᾳ τῶν ἀλλοφύλων· ἔλεγε γὰρ ὅτι· « Οὕτως ἀφέλω τὸ ὄνειδός μου, » ὅτι ἐψευσάμην προφητεύσας[5] κατὰ Νινευῖ τῆς » πόλεως τῆς μεγάλης. » Οὗτός ἐστιν <ὁ[6]> υἱὸς τῆς χήρας, ὃν ἤγειρεν Ἠλίας[7] ὁ προφήτης. Ἦν γὰρ τότε Ἠλίας ἐλέγχων τὸν Ἀχαὰβ καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν ἔφυγε· καὶ ἐλθὼν εἰς Σάραυθα[8] τῆς Σιδονίας[9], εὗρε τὴν χήραν[10] μετὰ τοῦ υἱοῦ αὐτῆς καὶ ἔμεινε παρ' αὐτοῖς (οὐ γὰρ ἠδύνατο μένειν μετὰ τῶν ἀπεριτμήτων) καὶ εὐλόγησεν αὐτὴν διὰ τὴν ξενοδοχίαν αὐτῆς· ἦν γὰρ γινώσκων αὐτὴν ἐκ πρώτης. Ἧς καὶ θανόντα τὸν υἱὸν ἤγειρεν· ᾠκονόμησε δὲ ὁ Θεὸς τὸν Ἠλίαν πεινάσαντα ξενισθῆναι ὑπὸ τῆς χήρας, ὥστε εὔξασθαι λυθῆναι τὸν αὐχμόν· ὃ καὶ γέγονεν. Ἀναστὰς δὲ μετὰ τὸν λιμὸν Ἰωνᾶς ἐπορεύετο[11] εἰς γῆν Ἰούδα· κατὰ οὖν τὴν ὁδὸν τέλος λαβούσης τῆς αὐτοῦ μητρός, ἔθαψεν αὐτὴν ἐχόμενα τῆς βαλάνου Δεβόρας[12]. Αὐτὸς δὲ κατῴκησεν ἐν γῇ Σενναάρ[13]· ἔνθα καὶ ἀποθανὼν ἐτάφη ἐν σπηλαίῳ τοῦ Κενεζέου, κριτοῦ γενομένου μιᾶς φυλῆς ἐν ἡμέραις τῆς ἀναρχίας. Ἐν δὲ τῷ μέλλειν τελευτᾶν ἔδωκε τέρας ἐπὶ Ἱερουσαλὴμ καὶ ἐφ' ὅλην τὴν γῆν, ὅτι· Ὅταν | ἴδωσι (φήσας) f. 33. λίθον βοῶντα οἰκτρῶς λεπτὴν φωνὴν καὶ κάνθαρον ἀπὸ ξύλου πρὸς Θεὸν φθεγγόμενον, τότε ἐγγίζειν τὴν σωτηρίαν· τότε ὄψονται τὴν Ἱερουσαλὴμ ἠδαφισμένην[14] ὅλην ἕως θεμελίων καὶ εἰς αὐτὴν πάντα τὰ ἔθνη ἥξει ἐν προσκυνήσει Κυρίου καὶ μεταθήσουσι τοὺς λίθους αὐτῆς κατὰ δυσμὰς ἡλίου, καὶ ἐκεῖ ἐστιν ἡ προσκύνησις τοῦ ἠλειμμένου διὰ τὸ[15] Ἱερουσαλὴμ βδελυχθῆναι[16] ἐν ἐρημώσει θηρίων· καὶ τότε ἥξει τὸ τέλος πάσης πνοῆς. Ἦν δὲ ὁ Ἰωνᾶς τὴν κεφαλὴν φαλακρός, σιμὸς τὴν γενειάδα καὶ λευκὸς ταῖς θριξί.

— [4] ξύλοις τυπτόμενοι Sa. — [5] τῆς Sa.

1. — [1] Ἀμαθὶ ἀπὸ Γὲτθ Sa, Ἀμαθῆ ἀπογὲτθ S, Ἰωνᾶ υἱοῦ Ἀμαθὶ τοῦ προφήτου τοῦ ἐκ Γεθχοφὲρ IV Reg. *14, 25;* Eusebii Onomasticon, Larsow, *p. 150 :* Γεθθαρχοφὲρ ἔνθα ἦν Ἰωνᾶς ὁ προφήτης. — [2] Καριαθιρεὶμ Sa, Καριαθμαοῦς, Καριαθμαοὺμ *in* Libellis de Vitis Prophetarum, Nestle, *p. 24, 25.* — [3] Νηνευῖ S. — [4] Ἀσοῦρ S, Ἀσοὺρ Sa, Σοὺρ Nestle, *l. c.*, Ἀσὼρ ... ἄρχουσα πασῶν τῶν βασιλειῶν τῶν ἀλλοφύλων Eusebii Onomasticon, Larsow, *p. 76.* — [5] προφητεῦσαι S. — [6] ὁ *om.* S, *add.* Sa. — [7] Ἠλίας, *infra* Ἠλίας Sa. — [8] Ἀραυθὰ Sa, Σαρεφθὰ Vit. prophet. Nestle, *p. 25*, Σαρεπτά, κώμη Σιδῶνος Eusebii Onomasticon, Larsow, *p. 326.* — [9] Σιδωνίας Sa. — [10] χήρα S. — [11] ἐπορεύσατο Sa. — [12] δεβόρας S, δὲ βόρας Sa, δεβόρρα *al.* δεββώρα Gen. *35, 8.* — [13] Σεναὰρ S. — [14] ἠδαφιμένην Sa. — [15] τὴν *add.* Sa. — [16] δαελυχθῆναι Sa.

Sept. 20. σθεὶς θῦσαι καὶ μὴ πεισθείς, ἐμβάλλεται εἰς χαλκοῦν βοῦν πεπυρωμένον καὶ τελειοῦται[28]. — 2. — Σωσάννης (= S, Sept. 19[2]). — **Cb** : 1. 2. — Σωσάννης. — **M** : 1. 4. — Τοῦ ἁγίου μάρτυρος <Μαρτίνου> πάπα Ῥώμης, Μαξίμου καὶ τῶν σὺν αὐτῷ (Sept. 16[2]). — 2 (Ἀρτεμιδώρου καὶ Θάλου). — Μελετίου ἐπισκόπου. — 3. — **Mv** : 1. 4. — Μαρτίνου, Μαξίμου κτλ. — 2. — Μελετίου. — 3. — **Mr** : 1.

Sept. 21. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. 6. 7. — **H** : 1, mutil. — **P** : 3 : Θεοδώρου ἐκ Πέργης τῆς Παμφυλίας ἐπὶ Ἀντωνίου βασιλέως καὶ Θεοδώρου ἡγεμόνος, ἕτερος καὶ προγενέστερος ὑπάρχων χρόνων ο' παρὰ τῶν ἁγίων Θεοδώρων τῶν ἐν Ἀμασείᾳ μαρτυρησάντων καὶ ἐν Εὐχαΐτοις καὶ ἐν παντὶ τῷ κόσμῳ τιμωμένων[1]. — Κοδράτου (Sept. 22[1]). — 5. 7. — **F** : Κοδράτου (Sept. 22[1]). — Θαλελαίου καὶ Ἀρτεμιδώρου ἐν τῷ Κοσμηδίῳ (Sept. 20[2]). — Κάστορος καὶ Θεοδώρας πλησίον τῆς Ἰουστινιανοῦ γεφύρας (Sept. 18[4]). — 3. 4. 5 (... ἐπισκόπου Σιτιεῖς). — 7. — **Fa** : Κοδράτου. — Θαλελαίου καὶ Ἀρτεμιδώρου. — Κάστορος καὶ Θεοδώρας. — 3. 4. 5. 7. — **Fb** : Κοδράτου. — Θαλελαίου καὶ Ἀρτεμιδώρου. — Κάστορος καὶ Θεοδώρας. — 3. 4. 5 (ἐπισκόπου Σιτιῆς). — 7. — **B** : 5 (Ἰσαακίου καὶ Μελετίου). — 3. — Κοδράτου. — Πρίσκου (cf. Sept. 22[4]). — **Ba** : Κοδράτου. — Πρίσκου. — **Bb** : 5 (Ἰσαακίου καὶ Μελετίου). — Ὑπατίου καὶ Ἀνδρέου (Sept. 20[4]). — Ἰωάννου τοῦ Αἰγυπτίου (Sept. 20[3]). — 4. 3. — Κοδράτου. — Πρίσκου. — **T** : Κοδράτου. — **L** : 3 (in lemmate vero diei Κοδράτου). — **O** : Κοδράτου. — 3. 5. 7. — **G** : Κοδράτου. — 2. — **C** : 5 : Ἀκακίου ἐπισκόπου τῆς Κύπρου καὶ Μελετίου ἐπισκόπου καὶ αὐτοῦ γεγονότος. Οὗτοι οἱ ὅσιοι καὶ ἅγιοι πατέρες ἡμῶν γεγόνασιν ἐπίσκοποι εἰς ἐκκλησίας τοῦ Χριστοῦ, εὐλαβεῖς καὶ φοβούμενοι τὸν Θεόν. Εἶχον δὲ ἀκατάπαυστον ἔργον τοῦ διδάσκειν τὸν λαὸν τὰ θεῖα λόγια τοῦ Χριστοῦ καὶ τὸ ἐλεεῖν καὶ δανείζειν ὅλην τὴν ἡμέραν οὐ μόνον τὸν ἄρτον αὐτῶν ἀλλὰ καὶ τὸν λόγον τοῦ Θεοῦ. Οὕτω δὲ πορευόμενοι καὶ λειτουργοῦντες ἀμέμπτως ἐνώπιον τοῦ Θεοῦ καὶ τὰς ἀναιμάκτους θυσίας προσευχὰς φέροντες αὐτῷ, ἐν εἰρήνῃ ἐτελειώθησαν καὶ παρέδωκαν τὰς ἁγίας αὐτῶν καὶ μακαρίας ψυχὰς τῷ Κυρίῳ. Τὰ δὲ σώματα αὐτῶν ἐτάφησαν ἐν τοῖς τόποις, ἐν οἷς ἕκαστος ἐπεσκόπησεν. — 3 : Θεοδώρου τοῦ ἐν Πέργῃ τῆς Παμφυλίας μαρτυρήσαντος. Οὗτος ὁ ἅγιος μάρτυς Θεόδωρος ἦν ἐπὶ Ἀντωνίου τοῦ βασιλέως καὶ ἡγεμόνος Θεοδότου, προγενέστερος ὑπάρχων

— [28] (καὶ πάλιν - τελειοῦται) εἶτα διαγνωσθεὶς χριστιανὸς ἐνεβλήθη εἰς χαλκοῦν βοῦν πυρακτωθέντα σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις καὶ ἐτελειώθη Ba.

[1] *lege* τὸν ἅγιον Θεόδωρον ... μαρτυρήσαντα κτλ.

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Ἰωνᾶ πρεσβυτέρου, τοῦ Σαββαΐτου. Οὗτος ὁ[1] ὅσιος πατὴρ γέγονε Θεοδώρου καὶ Θεοφάνους τῶν ὁμολογητῶν, ὧν τὰ πρόσωπα ἐπεγράφη παρὰ τῶν εἰκονομάχων. Ὅστις Ἰωνᾶς[2] ἀπελθὼν ἐν τῇ τοῦ ἁγίου Σάβα λαύρᾳ καὶ μοναχὸς γενόμενος, ἅταν εὐλαβῆς ἀποκαταστὰς καὶ εἰς τὸ ἄκρον φθάσας τῶν ἀρετῶν, τὴν ἀγάπην, τῷ τοῦ πρεσβυτέρου ἀξιώματι τιμηθεὶς καὶ θαυματοβρύτων χαρίτων τοῦ πνεύματος ἐμφορηθείς, ἐν γήρᾳ[3] καλῷ τὸν βίον ἀπέλιπεν.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ἐκ Πέργης[1] τῆς Παμφυλίας. Οὗτος ὑπῆρχεν ἐπὶ Ἀντωνίνου βασιλέως καὶ Θεοδότου[2] ἡγεμόνος, προγενέστερος τοῦ ἁγίου Θεοδώρου, τοῦ ἐν Ἀμασείᾳ[3] καὶ Εὐχαΐτοις[4], μαρτυρήσας πρὸ ἐτῶν ἑβδομήκοντα. Ὢν δὲ τὴν ἡλικίαν εὐμήκης, τὴν ὄψιν ἀγαθός, τὴν ῥώμην γενναῖος, εἰς τήρωνας ἐστρατεύθη· πλέον δὲ τῇ τοῦ Χριστοῦ στρατείᾳ σεμνυνόμενος, διεβλήθη καὶ προσήχθη τῷ ἡγεμόνι· καὶ παρρησιασάμενος τὴν εὐσέβειαν καὶ καταχλευάσας[5] τοὺς αὐτοῦ θεοὺς καὶ τὴν ἐπ' αὐτοῖς θεολογίαν ἐλέγξας ὡς αἰσχράν, τύπτεται σφοδρῶς καὶ ἐπὶ ἐσχάρας πεπυρακτωμένης τίθεται καὶ πώλοις ἀγρίοις συνδεθεὶς σύρεται καὶ εἰς κάμινον ἀναφθεῖσαν μετὰ τῶν συνεπομένων αὐτῷ στρατιωτῶν Σωκράτους[6] καὶ Διονυσίου ἀπορρίπτεται· οἵτινες ἔνδον τῆς καμίνου λόγχαις κατεσφάγησαν, ὅτι ἀβλαβεῖς ἐν αὐτῇ ἵσταντο. Ὁ δὲ ἅγιος Θεόδωρος ἐξελθὼν τῆς | καμίνου καὶ f. 33'. σταυρῷ προσπαγεὶς καὶ διαρκέσας ἡμέρας τρεῖς, ἐν ἀγαλλιάσει τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. Ὃν θεασαμένη ἡ μήτηρ Φιλίππα θεαρέστως ἐκπεπνευκότα καὶ τὸν Χριστὸν ἀνακηρύξασα Θεὸν ἀληθινόν, τῇ διὰ ξίφους τομῇ συνετελειώθη.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσεβίου, Νεστάβου, Ζήνωνος τῶν αὐταδέλφων καὶ Νέστορος καὶ Βούσιρι[1]. Οὗτοι ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου κρυπτόμενοι, ὑπὸ τῶν ἑλλήνων συνελήφθησαν. Μαστιγοῦνται οὖν καὶ ἐγκλείονται καὶ μυρίαις κακώσεσιν ὑποβάλλονται, πῇ μὲν πρηνεῖς, πῇ δὲ ὕπτιοι ἑλκόμενοι καὶ τῷ ἐδάφει προσρηγνύμενοι καὶ παιόμενοι, οἱ μὲν λίθοις, οἱ δὲ ξύλοις· ἀλλὰ καὶ γυναῖκες τῶν ἱστῶν ἐξιοῦσαι κερκίσιν αὐτοὺς κατεκέντουν· καὶ μάγειροι θερμὰ[2] καχλάζοντα ἐκ τῶν λεβήτων ἁρπάζοντες, τούτοις αὐτοὺς κατέκαιον καὶ ταῖς σούβλαις διέπειρον. Ἐπεὶ δὲ αὐτοὺς διεσπάραξαν καὶ τὰς κεφαλὰς συνέτριψαν, ὡς καὶ τὸν ἐγκέφαλον χαμαὶ ῥεῖν, ἤγαγον αὐτοὺς πρὸ τοῦ ἄστεος καὶ

2. — [1] *om.* Sa. — [2] *om.* Sa. — [3] γήρει Sa.

3. — [1] Πέρσης Sa. — [2] Θεοδώτου S. — [3] Sa, Ἀμασία S. — [4] Εὐχαΐτοις Sa, Εὐχαΐτων S. — [5] καὶ διαμυκτηρίσας *add.* Sa. — [6] Σοκράτους S.

4. — [1] Βούσουρι Sa, Βούσιριν *scribit* Sozomenos, H. E. *V, 11, 4.* — [2] θερμὰ Sa, θερμῷ S.

30 τοῦ ἁγίου Θεοδώρου τοῦ ἐν Ἀμασίᾳ μαρτυρήσαντος ἔτη ἑβδομήκοντα. Ἐξελέγη δὲ καὶ προσγράφη εἰς Sept. 21. τὴν τῶν τηρόνων στρατείαν διὰ τὸ νέος εἶναι καὶ τὴν ἡλικίαν μέγας καὶ τὴν ὄψιν ἀγαθός. Ὁ δὲ κατεφρόνησε τῆς ἐπιγείου στρατείας λέγων ὅτι· « Ἐγὼ τῷ ἐπουρανίῳ βασιλεῖ Χριστῷ τῷ Θεῷ μου ἐστρα- » τεύθην διὰ τοῦ ἁγίου βαπτίσματος καὶ τῷ ἐπὶ γῆς βασιλεῖ δουλεύειν οὐ θέλω. » Διὰ τοῦτο ἐκρατήθη παρὰ τοῦ ἡγεμόνος καὶ ἠναγκάσθη[1] προσκυνῆσαι τοῖς εἰδώλοις. Μὴ πεισθεὶς δὲ πολλαῖς ὑποβάλλεται τιμωρίαις καὶ εἰς κάμινον ἐμβάλλεται καὶ ὑγιὴς ἐξῆλθεν· ὅθεν ἐπίστευσαν σὺν αὐτῷ καὶ δύο στρατιῶται Σωκράτης καὶ Διονύσιος. Ἐν τῇ καμίνῳ δὲ ὄντων καὶ προσευχομένων, παρεγένετο καὶ ἡ μήτηρ αὐτοῦ Φιλίππα ἀπὸ τῆς αἰχμαλωσίας· καὶ κρατήσας αὐτὸν ὁ ἡγεμὼν ἀπεκεφάλισεν, εἶτα καὶ τοὺς στρατιώτας. Καὶ μετὰ ταῦτα ἐπὶ σταυροῦ κρεμάσας τὸν ἅγιον Θεόδωρον ἀνεῖλε. Καὶ οὕτως ἐτελειώθησαν. — Τοῦ ἁγίου ἀποστόλου καὶ ἱερομάρτυρος Κοδράτου τοῦ ἐν Μαγνησίᾳ καὶ τῆς συνοδίας αὐτοῦ. Οὗτος ὁ ἅγιος Κοδράτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Δεκίου καὶ Οὐαλερίου ἐπίσκοπος τῆς πόλεως Μαγνησίας. Ἀκούσας δὲ ὅτι Δέκιος διατρίβει ἐν τῇ πόλει Καισαρείας, παρεγένετο[2] ἀπὸ Μαγνησίας εἰς Νικομήδειαν πρὸς τὸ ἐπισκέψασθαι τοὺς ἐν ταῖς φυλακαῖς ὑπάρχοντας ἁγίους. Ἀπελθὼν δὲ καὶ ἐπισκεπτόμενος αὐτοὺς καθ' ἡμέραν καὶ παρακαλῶν προθύμως μαρτυρεῖν ὑπὲρ τοῦ Χριστοῦ, ἐκρατήθη παρὰ τοῦ τῆς Νικομηδείας ἀνθυπάτου. Καὶ παραστὰς ἐνώπιον αὐτοῦ μετὰ καὶ τῶν λοιπῶν μαρτύρων, πρῶτον ἤλεγξε τὴν τῶν εἰδώλων πλάνην. Ὅθεν τυφθεὶς ἰσχυρῶς, εἶτα ξεσθεὶς τὰς πλευρὰς ἐνεβλήθη εἰς φυλακήν. Καὶ μετὰ ὀλίγας ἡμέρας, ἀπελθόντος τοῦ ἀνθυπάτου εἰς Νίκαιαν, ἀπήχθη ὁ ἅγιος δέσμιος μετὰ τῶν λοιπῶν μαρτύρων· καὶ πάλιν τύπτεται ἰσχυρῶς καὶ πάλιν σύρεται εἰς Καισάρειαν καὶ ἐμβάλλεται εἰς κάμινον πυρός· καὶ ἀβλαβὴς ἐξελθὼν ἐκ τῆς καμίνου, ἐτελειώθη διὰ τοῦ ξίφους καὶ παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ (Sept. 22[1]). — Πρίσκου. Οὗτος ὁ ἅγιος Πρίσκος χριστιανὸς ὢν καὶ παρρησίᾳ τοῦ Χριστοῦ τὴν πίστιν διδάσκων καὶ θαρσοποιῶν μὲν πάντας τοὺς χριστιανοὺς καὶ πρὸς τὸ μαρτύριον παρακαλῶν, πολλοὺς δὲ τῶν ἑλλήνων νουθετῶν πρὸς τὸν Χριστὸν ἐπέστρεφε καὶ ἐβάπτιζε. Κατηγορηθεὶς[3] παρὰ τῶν ἑλλήνων καὶ παρὰ τῶν ἱερέων τῶν εἰδώλων ὅτι τοὺς θεοὺς ὑβρίζει καὶ χλευάζει, καὶ τῶν βασιλικῶν προσταγμάτων καταφρονεῖ καὶ πάντα ἀναπείθει τοῦ μὴ προσκυνεῖν τοῖς εἰδώλοις καὶ κηρύττειν τινὰ θεὸν ἐσταυρωμένον, ἐκρατήθη παρὰ τοῦ ἡγεμόνος καὶ σφοδρῶς τιμωρηθεὶς καὶ τυφθείς, εἶτα κρεμασθεὶς καὶ τὰς πλευρὰς ὠρυχθεὶς καὶ μετὰ ξιφῶν κατακεντηθείς, τέλος τὴν κεφαλὴν ἀπετμήθη καὶ παρέδωκε τὴν μακαρίαν καὶ ἁγίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ (cf. Sept. 22[4]). — Τῶν ὁσίων πατέρων ἡμῶν Ὑπατίου καὶ Ἀνδρέου. Οὗτοι Λυδῶν χώρας ὄντες καὶ ἔν τινι φροντιστηρίῳ παῖδες ὄντες φοιτήσαντες, ὁ μὲν Ὑπάτιος τὸν μονήρη βίον ὑπέρχεται, Ἀνδρέας δὲ τῷ κλήρῳ τῶν ἀναγνωστῶν ἐγκαταλέγεται. Οὐ νηστείᾳ δὲ μόνον καὶ ἀγρυπνίᾳ καὶ εὐχῇ τῶν ἄλλων ἀδελφῶν ἐκράτουν[4], ἀλλὰ

1 ἀναγκάσθη C. — **2** παρεγένοτο C. — **3** κατηγορήθη C. — **4** ἐκράτων C.

Sept. 21. κάμινον ἐξάψαντες τὰ σώματα αὐτῶν κατέκαυσαν καὶ τὰ περιλειφθέντα τῶν ὀστῶν ἔρριψαν αὐτόθι, καμήλων καὶ ὄνων ὀστοῖς ἀναμίξαντες. Καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰσαακίου ἐπισκόπου Σίτης τῆς Κύπρου. Τούτῳ ἔργον ἦν διηνεκὲς [1] ἡ εὐλάβεια καὶ τὸ φοβεῖσθαι τὸν Κύριον καὶ κατὰ τὰς ἐντολὰς αὐτοῦ πορεύεσθαι, ἔτι δὲ καὶ τὸ διανέμειν ὅλην τὴν ἡμέραν τὰ ὑπάρχοντα αὐτῷ τοῖς πένησιν. Εἰς δὲ τὸ τῆς ἀρχιερωσύνης φθάσας ἀξίωμα καὶ λαὸν περιούσιον τῷ Χριστῷ περιποιησάμενος, ἐν εἰρήνῃ καταλύει τὸν βίον.

6. Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας μάρτυρος Βάσσης [1] τῆς Τυρίας.

7. Καὶ τὰ ἐγκαίνια τῆς ἐκκλησίας τοῦ ἁγίου μάρτυρος Μηνᾶ, τῆς πλησίον οὔσης τῆς Ἀκροπόλεως.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΒ'.

Sept. 22. 1. Ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος καὶ ἀποστόλου Κοδράτου. Οὗτος ἀρχαῖος καὶ πολυΐστωρ
f. 34. ἀνὴρ ὑ|πάρχων, ἐν Ἀθήναις, εἶτα ἐν Μαγνησίᾳ τὸν λόγον τοῦ Κυρίου κατήγγειλε [1] καὶ πολλοὺς φωταγωγήσας [2] τοῖς δόγμασι [3], πρὸς φῶς θεογνωσίας ἐπανήγαγεν. Ὅθεν ἐξ Ἀθηνῶν τῆς αὐτοῦ ποίμνης ὑπὸ τῶν διωκτῶν ἀπελαύνεται, πρότερον λίθοις βληθεὶς καὶ πυρὶ καὶ ποιναῖς ἄλλαις· ὕστερον δὲ ἐπὶ Ἀδριανοῦ τοῦ Αἰλίου [4] τὸν στέφανον τοῦ μαρτυρίου κομίζεται [5].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου μάρτυρος Φωκᾶ τοῦ κηπουροῦ. Οὗτος ἐκ πόλεως ἐγεγόνει [1] Σινώπης, ἀρχαίας καὶ κατὰ τὸν Πόντον γνωρίμου [2]· ἐπιτήδευμα δὲ [3] αὐτῷ τοῦ βίου κήπου γεωργία καὶ ἐπιμέλεια· ἀφ' οὗ τοῖς ξένοις κοινὰ προετίθει τὰ ὄντα. Οὐ μόνον δὲ τοῦ αἰσθητοῦ κηπίου ἐπεμελεῖτο, ἀλλὰ καὶ τὴν τῆς ψυχῆς φιλοκαλίαν [4] περὶ πλείονος ἐποιεῖτο. Ὁ δὴ καὶ ἐς ἀεὶ [5] ἔργον ποιούμενος, οὐκ ἔλαθε μὲν [6] τὸν ἀπ' ἀρχῆς ἀνθρωποκτόνον, οὐκ ἔλαθε δὲ δι' αὐτοῦ καὶ τὸν τότε κρατοῦντα· ἀλλὰ καὶ οὗτος ὡς Χριστοῦ δοῦλος γνήσιος ἐμηνύθη. Καὶ δὴ ἐλθόντες οἱ τοῦτον τιμωρήσοντες δήμιοι, παρ' αὐτῷ ἀγνοουμένῳ ἐπιξενοῦνται καὶ ἀναπαύονται [7]. Πυνθανομένῳ δὲ αὐτούς, τίνες εἶεν καὶ τίνος χάριν κατέλαβον, γνωρίζουσιν αὐτῷ τὴν αἰτίαν καὶ ὅτι Φωκᾶν τὸν κηπουρὸν

5. — [1] διηνεκὶς S.
6. — [1] Βάσσης Sa, Βάσης S.
1. — [1] καταγγέλλων Sa. — [2] φωταγωγῶν Sa. — [3] τῆς εὐσεβείας *add.* Sa. — [4] Αἰλίου Sa, Ἑλίου S. — [5] τελεῖται κτλ. *add.* Sa. *inter* Synaxaria selecta.
2. — [1] γέγονε Sa. — [2] καὶ γνωρίμου κατὰ Πόντον Sa. — [3] δὲ *om.* Sa. — [4] φιλοκαλλίαν S. — [5] ἐσαῖ S. — [6] μὲν Sa, δὲ S. — [7] διαναπαύονται Sa.

Sept. 21. καὶ πάσῃ ταπεινοφροσύνῃ καὶ σωφροσύνῃ καὶ ἀγάπῃ. Παρ' [5] ὧν ὁ πρόεδρος Ἐφεσίων μαθών, Ὑπάτιον μὲν ἐπίσκοπον χειροτονεῖ, Ἀνδρέαν δὲ πρεσβύτερον. Ἐπεὶ δὲ Λέων ὁ μισάγιος βασιλεὺς τὰ περὶ αὐτῶν μαθών, ὡς [6] αὐτοὺς μετεκαλέσατο, εἱρκτῇ ἐναπέθετο. Καὶ μετὰ ταῦτα προσέταξε καὶ τὸ δέρμα τῆς κεφαλῆς ἀποδαρῆναι· καὶ τὰς ἁγίας εἰκόνας παμπόλλας οὔσας κατὰ τῆς κεφαλῆς ἀναφθείσας ἐδέξαντο· καὶ πίσσῃ χρισθέντες τὰς γενειάδας διὰ μέσης τῆς πόλεως ἐσύραντο [7], τὰ πνεύματα αὐτῶν εἰς χεῖρας Θεῷ ἐπαφέντες (Sept. 20[4]). — **Cb** : 5 (Ἰσαακίου καὶ Μελετίου). — 3. — Κοδράτου. — Πρίσκου. — **M** : 1. 2. — Κοδράτου. — Εὐσεβίου τοῦ ὁμολογητοῦ (Sept. 23[2]). — 4 (Εὐσεβίου, Νεστάβου καὶ Ζήνωνος). — 5 (Ἰσαακίου καὶ Μελετίου). — Πρίσκου. — rursum 5 : τοῦ ἁγίου μάρτυρος Ἰσαακίου ἐπισκόπου Κύπρου. — Τῶν ἁγίων ἐξ μαρτύρων ὑπασπιστῶν ὄντων Μαξιμιανοῦ. — **Mv** : 1. 2. — Κοδράτου. — Εὐσεβίου. — 4 (Εὐσεβίου, Νεστάβου, Ζήνωνος). — 5 (Μελετίου καὶ Ἰσακίου). — Πρίσκου. — rursum 5. — Τῶν ἁγίων ἐξ μαρτύρων. — **Mr** : Κοδράτου.

Sept. 22. SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῷ σκευοφυλακίῳ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἔνθα καὶ ἡ ἁγία αὐτοῦ κάρα ἀπόκειται. — 2. 3. 4. 5. 6. — **H** : 6. 3. 4. — Ἰωνᾶ (Sept. 21[1]). — Ἰωνᾶ πρεσβυτέρου (Sept. 21[2]). — **P** : 3 : Φωκᾶ ἐν Σινώπῃ τῇ πόλει. Ὅτε ἡ περιστερὰ ἐκαθέσθη ἐπὶ της κεφαλῆς αὐτοῦ, στέφανον ἐπιθεῖσα ἐπ' αὐτὴν καὶ λέγουσα αὐτῷ· « Ποτήριόν » σοι κεκέρασται καὶ δεῖ σε αὐτὸ ἐκπιεῖν, » οὗ καὶ κατηξιώθη τυχεῖν, ἐπὶ Τραϊανοῦ βασιλέως ξίφει καὶ πυρὶ τελειωθείς. — Ἰωνᾶ (Sept. 21[1]). — Ἰωνᾶ (Sept. 21[2]). — 4 (Πρίσκου καὶ Νικολάου). — **F** : Ἰωνᾶ. — Ἰωνᾶ. — 3. — **Fa** : Ἰωνᾶ. — Ἰωνᾶ. — 3. — **Fb** : Ἰωνᾶ. — Ἰωνᾶ. — 3. — **B** : 3. — Ἰωνᾶ (Sept. 21[1]). — Ἰωνᾶ (Sept. 21[2]). — **Ba** : 3. Ἰωνᾶ. — Ἰωνᾶ. — **Bb** : 3. — Ἰωνᾶ. — Ἰωνᾶ. — **T** : 3. — **L** : 6. 3. 4. — Ἰωνᾶ. — Ἰωνᾶ. — **O** : Ἰωνᾶ (Sept. 21[1]). — 3. — Ἰωνᾶ (Sept. 21[2]). — **G** (male habitus hac die vix legi potest). — **C** : 3 : Φωκᾶ τοῦ ἐν Σινώπῃ [1]. Οὗτος ὁ ἅγιος μάρτυς Φωκᾶς ὑπῆρχεν ἀπὸ Σινώπης [2] τῆς πόλεως υἱὸς Παμφίλου [3] τοῦ ναυπηγοῦ καὶ Μαρίας. Παιδίον δὲ ἔτι ὑπάρχων ἐδέξατο ἐκ τοῦ Θεοῦ θαυμάτων χαρίσματα, ὥστε δαίμονας ἀπελαύνειν, νεκροὺς ἐγείρειν, ἀσθενοῦντας ποιεῖν ὑγιεῖς, πλοῖα δὲ κινδυνεύοντα ἐν τῇ θαλάσσῃ διασώζειν. Ἀπελθὼν ἀπὸ Σινώπης [2] εἰς Ἀμασίαν τὴν πόλιν τὰ ὅμοια διεπράξατο, εἶτα εἰς Ἀμισόν· κἀκεῖ ὁμοίως μυρία θαύματα ἐπετέλεσεν. Καὶ μετὰ ταῦτα πάλιν παρεγένετο εἰς Σινώπην πρὸς ἐπίσκεψιν τῶν γονέων αὐτοῦ καὶ διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν ἐπίσκοπος προχειρίζεται Σινώπης καὶ πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφων ἐβάπτιζεν. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ὑπάρχοντος αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ, ἐλθοῦσα περιστερὰ ἐκάθισεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ εἶπεν αὐτῷ·

[5] *legendum potius* περί. — [6] *forte supplendum* ἑαυτόν. — [7] ἔσυραν C.
[1] Συνώπη C. — [2] Συνώπης C. — [3] Παμφύλου C.

ζητοῦσι τιμωρῆσαί τε καὶ τὴν κεφαλὴν ἀποτεμεῖν. Ὡς δέ· « Αὐτὸς ἐγώ εἰμι » ἤκουον καί· « Ἰδού, » πληρώσατε τὰ προστεταγμένα », θάμβει συνεσχέθησαν καὶ τὰς ψυχὰς ἐπλήγησαν καὶ τὴν φιλοξενίαν ἠδέσθησαν. Ἐκεῖνος δὲ δραμὼν καὶ τὸν ἴδιον τάφον σὺν τοῖς ἐνταφίοις εὐτρεπίσας [8] ὑποστρέφει. Καὶ παρακαλέσας αὐτοὺς πρὸς τὴν τόλμαν τῆς ἀναιρέσεως, τὴν κεφαλὴν ἀποτέμνεται καὶ τῷ Θεῷ τὸ πνεῦμα παρατίθεται. Τὸ δὲ τίμιον αὐτοῦ λείψανον χριστιανοὶ ἀνελόμενοι καὶ τῷ προευτρεπισθέντι τάφῳ προσάξαντες, ναὸν μεγαλοπρεπῆ ἀνεγείραντες, ἐν αὐτῷ σεβασμίως τοῦτο κατέθεντο [9].

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις ἑτέρου [1] Φωκᾶ ἱερομάρτυρος. Ὃς ἐγένετο υἱὸς Παμφίλου ναυπηγοῦ καὶ Μαρίας κατὰ τὸν Πόντον Σινώπης. Εὐθὺς δὲ
f. 34v. ἐξ ἁπαλῶν ὀνύχων | τῇ τοῦ ἁγίου Πνεύματος χάριτι θαύματα ἐπετέλει παράδοξα, δαίμονας ἀπελαύνων καὶ νεκροὺς ἐγείρων, ἄχρις Ἀμασείας [2] ἀπερχόμενος καὶ Ἀμισοῦ [3], διδάσκων τε καὶ θαυματουργῶν· ἐξ ὧν ὑποστρέψας εἰς τὴν ἰδίαν πατρίδα Σινώπην, ἐπίσκοπος ταύτης χειροτονεῖται. Παρέτεινε δὲ θαυματουργῶν μέχρις ἐσχάτης πολιᾶς καὶ ἐμυήθη τὸ συμβησόμενον αὐτῷ τοῦ μαρτυρίου τέλος, περιστερᾶς τῇ κεφαλῇ αὐτοῦ καθεσθείσης καὶ στέφανον περιθείσης καὶ ἀνθρωπίνως αὐτῷ φθεγξαμένης καὶ εἰπούσης· « Ποτήριόν » σοι κεκέρασται καὶ δεῖ σε αὐτὸ πιεῖν. » Οὗ καὶ κατηξιώθη τυχεῖν ἐπὶ Τραϊανοῦ βασιλέως, ξίφει καὶ πυρὶ τελειωθείς. Πολλὰ δὲ καὶ μετὰ τὴν αὐτοῦ πρὸς Θεὸν [4] ἐκδημίαν γεγόνασι θαύματα παρ' αὐτοῦ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι ἔνδον τοῦ σεπτοῦ ἀποστολείου τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου [5], πλησίον τῆς ἁγιωτάτης [6] μεγάλης ἐκκλησίας.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Πρίσκου, Μαρτίνου καὶ Νικολάου. Οὗτοι διαβληθέντες τοῖς ἕλλησιν, ὡς τὸν ἐσταυρωμένον Θεὸν ἀληθινὸν κηρύττοντες, ξέονται ὑπ' αὐτῶν τὰς πλευρὰς ἕως βάθους καὶ μετὰ ἐιφῶν κατακεντοῦνται καὶ τέλος τὰς κεφαλὰς ἀποτέμνονται. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν Βλαχέρναις.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Δρουσίλλης [1], θυγατρὸς γεγονυῖας Τραϊανοῦ τοῦ βασιλέως, καὶ τῶν σὺν αὐτῇ πέντε γυναικῶν.

6. Καὶ σύναξις τῆς ὑπεραγίας Θεοτόκου πέραν ἐν Χρυσοπόλει.

Sept. 22.

[8] εὐτρεπίσας τάφον ἐνταφίοις Sa. — [9] ἀνεγείρουσι καὶ ἐν τοῦτω κατιθέασιν Sa.
3. — [1] ἁγίου *add.* Sa. — [2] Ἀμασίας Sa. — [3] Ἀμεσοῦ Sa. — [4] Κύριον Sa. — [5] τοῦ θεολόγου *add.* Sa. — [6] *om.* Sa.
5. — [1] Δρουσίλλης Sa, Δρουσίλης S.

« Φωκᾶ, δοῦλε Χριστοῦ, ποτήριόν σοι κεκέρασται· καὶ ἀπόκειταί σοι αὐτὸ πιεῖν [4]. » Ὅθεν ἀκούσας περὶ αὐτοῦ ὁ βασιλεὺς Τραϊανὸς ἀποστείλας καὶ κρατήσας αὐτὸν ἀπεκεφάλισεν αὐτὸν καὶ παρέδωκε τῷ πυρί. — 4 : Τῶν ἁγίων Μαρτίνου καὶ Νικολάου. — Ἰωνᾶ. Οὗτος ὑπῆρχεν υἱὸς τοῦ Ἀμαθῆ ἐκ πόλεως Καριαθιαρείμ. Οὗτος προσετάχθη παρὰ τοῦ Θεοῦ ἀπελθεῖν καὶ κηρῦξαι εἰς Νινευὴ τὴν πόλιν ὅτι· « τρεῖς ἡμέραι καὶ Νινευὴ [5] καταστραφήσεται. » Παρακούσας δὲ τοῦ προστάγματος, ἠβουλήθη φυγεῖν. Εἶτα ἀγριωθεῖσα ἡ θάλασσα ἠπείλει καταπιεῖν τὸ πλοῖον. Ὅθεν λαβόντες αὐτὸν οἱ ναῦται, ἔρριψαν εἰς τὴν θάλασσαν· καὶ κατέπιεν αὐτὸν τὸ κῆτος. Καὶ μετὰ τρεῖς ἡμέρας ἐξήγαγεν αὐτὸν ὑγιῆ. Εἶτα ἀπελθὼν εἰς Νινευή, ἐποίησε τὸ πρόσταγμα τοῦ Θεοῦ· καὶ ἀνακάμψας εἰς τὴν γῆν αὐτοῦ, παρέλαβε τὴν μητέρα αὐτοῦ. Καὶ ἀπελθὼν κατῴκησεν ἐν τῇ Ἀσοὺρ χώρᾳ τῶν ἀλλοφύλων· ᾔσχύνετο γὰρ εἰς τὴν ἰδίαν κατοικεῖν γῆν διὰ τὸ ψευσθῆναι τὴν προφητείαν αὐτοῦ τὴν κατὰ Νινευὴ τῆς πόλεως. Ὁ γὰρ φιλάνθρωπος Θεὸς ἰδὼν τὴν τῶν Νινευητῶν μετάνοιαν, οὐκ ἐπήγαγε τὸν θάνατον αὐτοῖς. Μετὰ δὲ τελευτὴν τῆς μητρὸς ἀπῆλθεν εἰς τὴν γῆν Σαραάρ [6]. Ἐκεῖσε δὲ πολλὰ προφητεύσας περὶ τῆς παρουσίας τοῦ Χριστοῦ καὶ περὶ Ἱερουσαλήμ, ἐτελεύτησε καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ Κενεζαίου [7] (Sept. 21[1]). — Τοῦ ὁσίου Ἰωνᾶ τοῦ πρεσβυτέρου καὶ Σαβαΐτου, πατρὸς Θεοδώρου καὶ Θεοφάνους τοῦ ποιητοῦ καὶ ὁμολογητῶν. Οὗτος ὁ ὅσιος Ἰωνᾶς ὁ πρεσβύτερος ὑπῆρχε πατὴρ Θεοδώρου τοῦ ὁσιωτάτου καὶ μακαριωτάτου ὁμολογητοῦ τοῦ γραπτοῦ, οὗτινος τὸ πρόσωπον ἐπέγραψεν Λέων ὁ Καβαλλίνος ὁ εἰκονομάχος, διὰ τὸ μὴ ἀρνήσασθαι τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἁγίαν εἰκόνα, καὶ Θεοφάνους τοῦ ποιητοῦ τῶν κανόνων καὶ ὁμολογητοῦ. Ὅστις Ἰωνᾶς ἀπελθὼν ἐν τῇ τοῦ ἁγίου Σάβα λαύρᾳ καὶ μοναχὸς γεγονὼς καὶ ἄκραν εὐλάβειαν κτησάμενος καὶ πολλὰς ἀρετὰς κατορθώσας, πάντοτε νηστεύων καὶ προσευχόμενος τὸν Θεόν, δυσωπῶν ὑπὲρ τῆς χριστιανικῆς καταστάσεως καὶ ὑπὲρ τῶν εὐσεβῶν βασιλέων ἡμῶν καὶ ὑπὲρ εἰρήνης τοῦ σύμπαντος κόσμου, ἐν γήρᾳ καλῷ τὸν βίον ἀπέλιπε, παραδοὺς τὴν ἁγίαν αὐτοῦ καὶ τρισμακαρίαν ψυχὴν Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν καὶ ταφεὶς ἐν τῇ αὐτῇ λαύρᾳ (Sept. 21[2]). — Εὐσεβίου, Νεστάβου καὶ Ζήνωνος καὶ τῶν σὺν αὐτοῖς. Οἵτινες ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου κρυπτόμενοι, ὑπὸ τῶν ἑλλήνων συνελήφθησαν. Μαστιγοῦνται οὖν καὶ ἐγκλείονται· καὶ μυρίαις κακώσεσιν ὑποβάλλονται πῇ μὲν πρηνεῖς, πῇ δὲ ὕπτιοι ἑλκόμενοι καὶ τῷ ἐδάφει προσρηγνύμενοι καὶ παιόμενοι, οἱ μὲν λίθοις, οἱ δὲ ξύλοις τούτοις βάλλονται. Ἐπεὶ δὲ αὐτοὺς διεσπάραξαν καὶ τὰς κεφαλὰς συνέτριψαν, ὡς καὶ τὸν ἐγκέφαλον χαμαὶ ῥεῖν, ἤγαγον αὐτοὺς πρὸ τοῦ ἄστεως καὶ κάμινον ἀνάψαντες τὰ σώματα αὐτῶν κατέκαυσαν καὶ τὰ περιλειφθέντα τῶν ὀστῶν ἔρριψαν αὐτόθι, καμήλων καὶ ὄνων ὀστοῖς ἀναμίξαντες (Sept. 21[4]). — **Cb** : 2. 4 (τοῦ ἁγίου μάρτυρος Νικολάου). — Ἰωνᾶ. — Ἰωνᾶ. — **M** : 3. 2. 5 (Δρουζίλης ... καὶ τῶν σὺν αὐτῇ πέντε κανονικῶν). — Καὶ μνήμη τοῦ ἁγίου μάρτυρος Ἰσαάκ. — 4 (καὶ τοῦ ἁγίου Μαρτίνου). — **Mv** : 3. 2. 5. — Ἰσαάκ. — 4 (Μαρτίνου). — **Mr** : 3 : Ἱερομάρτυρος Φωκᾶ τοῦ θαυματουργοῦ τοῦ ἐν λουτρῷ σφοδρῶς πυρωθέντι τελειωθέντος.

Sept. 22.

[4] ποιεῖν C. — [5] Νυνευὴ C. — [6] *ita* C, *et in cod. Marchaliano*, Nestle, *p. 24*. — [7] Κενεζέου *ibid.*

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΓ'.

Sept. 23. **1.** Ἡ σύλληψις τοῦ ἁγίου Ἰωάννου προφήτου προδρόμου καὶ βαπτιστοῦ τοῦ Σωτῆρος, ἣν εὐηγγελίσατο τῷ πατρὶ αὐτοῦ τῷ προφήτῃ καὶ ἱερεῖ Ζαχαρίᾳ ἔνδον τοῦ ναοῦ θυμιῶντι ὁ θεῖος ἀρχι-
Luc. 1. 13. στράτηγος εἰπών· « Εἰσηκούσθη ἡ δέησίς σου », ὡς ἐκ τούτου προμηνύεσθαι διὰ τὸ παράδοξον τοῦ τε γήρως καὶ τῆς στειρώσεως καὶ τὴν κύησιν τῆς Ἐλισάβετ [1] τὸν θεῖον καὶ παρθενικὸν τῆς παναχράντου καὶ θεοτόκου Μαρίας τόκον καὶ καθ' ὃν [2] μῆνα ἤρξατο συλλαμβάνειν· κατὰ γὰρ τὸ εὐαγγέ-
f. 35. λιον ἔνδον | ὄντι εἰς τὰ ἅγια τῶν ἁγίων τῷ Ζαχαρίᾳ ἄγγελος ὤφθη καὶ εἶπε περὶ τοῦ τόκου τοῦ Ἰωάννου· κατὰ δὲ τὰς γραφάς, ὅτι καὶ ἅπαξ εἰσήρχετο εἰς τὰ ἅγια τῶν ἁγίων ὁ ἀρχιερεὺς καὶ ποτὲ ἐν τῷ μηνὶ τῷ Γορπιαίῳ τῆς σκηνοπηγίας καὶ τῆς νηστείας τῶν Ἰουδαίων· εἰ τοίνυν μετὰ τὸν Γορπιαῖον μῆνα, ὃς λέγεται σεπτέμβριος, ἀρχὴν ἔλαβε συλλαμβάνειν ἡ Ἐλισάβετ, καθὼς ἀποδέδεικται, εὔδηλον, ὅτι τὸν θεῖον καὶ παρθενικὸν τῆς παναχράντου καὶ θεοτόκου Μαρίας τόκον προμηνύει. Γίνεται δὲ ἡ τοιαύτη σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ, τῷ ὄντι ἐν τοῖς Σφωρακίου [3].

2. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου Εὐσεβίου τοῦ ὁμολογητοῦ. Ὃς κρατηθεὶς ὑπὸ τοῦ τῆς Φοινίκης ἄρχοντος ἠρωτήθη καὶ εὐθὺς ἐπὶ ξύλου ἀναρτᾶται καὶ ξέεται τὰς πλευράς, εἶτα τριχῶν ὑφάσμασιν ἅλατι μιγεῖσι τὰ τραύματα ἀναξέεται, εἶθ' οὕτως τὴν κεφαλὴν ἀποτέμνεται.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἀνδρέου, Ἰωάννου, Πέτρου καὶ Ἀντωνίνου, τῶν ἐν Ἀφρικῇ τελειωθέντων κατὰ τοὺς χρόνους Βασιλείου μὲν [1] τὴν Ῥωμαίων βασιλείαν ἰθύνοντος, τῆς δὲ Ἀφρικῆς ἁπάσης τῶν Ἀγαρηνῶν ἐκράτει καὶ ἐτυράννει ὁ ὠμότατος Ἀβραχήν. Οὗτος πορθήσας τὰς Συρακούσας [2] (αὕτη δέ ἐστιν ἡ μητρόπολις [3] Σικελίας) ἐκεῖθεν ἠγάγετο Ἰωάννην ἅμα τοῖς παισὶν αὐτοῦ Πέτρῳ καὶ Ἀντωνίνῳ [4], παῖδας ἔτι ἀώρους [5] τυγχάνοντας· οὓς καὶ παραυτίκα ἐκέλευσεν τοῖς [6] Ἀγαρηνῶν ἐκπαιδεύεσθαι μαθήμασι. Ἐπεὶ δὲ εἰς ἄνδρας ἐτέλουν καὶ φρονήσει καὶ τῇ ἄλλῃ ἀρετῇ πολλοὺς ὑπερεῖχον, ἀγασθεὶς ἐπ' αὐτοῖς ὁ Βελίαρ, γενικὸν μὲν Ἀντωνῖνον [7], σακελλάριον δὲ τὸν Πέτρον προχειρίζεται. Οὗτοι δὲ κρυφίως μὲν ἐχριστιάνιζον, εἰς τὸ φανερὸν δὲ τὰ τῶν Σαρακηνῶν ὑπεκρίνοντο. Ἀλλ' οὐκ ἔλαθον· γνοὺς γὰρ τοῦτο ὁ Ἀβραχὴν καὶ μανείς, τοὺς πόδας αὐτῶν ξύλῳ ἀσφαλισάμενος ξύλοις ἀδροῖς αἰκίζει· τετρακοσίας τοίνυν λαβὼν κατὰ τῶν ποδῶν ὁ μακάριος Ἀντωνῖνος [8] καὶ τούτους κατακλασθεὶς [9] ηὐχαρίστει τῷ Θεῷ· εἶτα ὄνῳ ἐπιβιβάζεται καὶ κατὰ τοῦ σάγματος σχοινίοις δεδεμένος | f. 35'.
διὰ μέσης τῆς πόλεως θεατρίζεται. Πέτρος δὲ γυμνωθεὶς ῥάβδοις τὸν τένοντα αὐτοῦ καὶ τὴν κοιλίαν αἰκίζεται καὶ τῇ εἱρκτῇ ἀποτίθεται. Ἐξαγαγὼν δὲ αὐτοὺς ἀπὸ τῆς εἱρκτῆς, τοὺς βραχίονας ἀπὸ τῶν ὤμων καὶ τὰς χεῖρας ξύλοις ἀγρίοις

1. — [1] τῆς Ἐλισαβὲτ κύησιν Sa. — [2] ὃν Sa, ἣν S. — [3] Σπαρακίου S, Σφαρρακίου Sa, Σφωρακίου S *ad d. 14 aug.* Codinus, De aedif. *Bonn., p. 82 :* τὸν ἅγιον Θεόδωρον τὰ Σφωρακίου Σφωράκιος πατρίκιος ἔκτισεν. *Cf.* Haenel, Corp. leg., *p. 256.*
3. — [1] χρόνους καθ' οὓς Βασίλειος μὲν Sa. — [2] Συρακούσας Sa, Συρρακούσας S. — [3] μητροπόλει S, Sa. — [4] Ἀντωνίω S. — [5] ἀόρους S, ἀώρας Sa. — [6] τῶν *add.* Sa. — [7] Ἀντώνιον S. — [8] Ἀντώνιος S. — [9] καταθλασθεὶς Sa.

Sept. 23. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 6. — **H** : 1 : Τὸ νέον ἔτος καὶ ἡ σύλληψις τῆς ἁγίας Ἐλισάβετ. — 5. 4. — **P** : 5. 4. 1 : Τὸ νέον ἔτος καὶ ἡ σύλληψις τῆς ἁγίας Ἐλισάβετ. — **F** : 1. 2. 3. 5. 4. 6. — **Fa** : 1. 2. 3. 5. 4. 6 (Περσίας). — **Fb** : 1. 2. 3. 5. 4. 6. — **B** : 1. 5. 4. — **Ba** : 1. 5. 4. 2 (= S). 3 (= S). — **Bb** : 1. 5. 4. 2. 3. — **T** : 1. — **L** : 1 : Τὸ νέον ἔτος καὶ ἡ σύλληψις τῆς ἁγίας Ἐλισάβετ, ὅτε συνέλαβεν τὸν προφήτην πρόδρομον καὶ βαπτιστὴν Ἰωάννην. Γίνεται δὲ ἡ τοιαύτη σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ προφητείῳ τῷ ὄντι ἐν τοῖς Παρακείου [1]. — 5. 4. — **O** : 1 : Τὸ νέον ἔτος καὶ ἡ σύλληψις κτλ. — 5. — **G** : 1. 2. 3. — **C** : 1 : Ἡ σύλληψις τῆς ἁγίας Ἐλισάβετ ὅτε συνέλαβε τὸν προφήτην καὶ πρόδρομον καὶ βαπτιστὴν Ἰωάννην. Οὗτος ὁ ἅγιος Ζαχαρίας ὁ προφήτης ὑπῆρχεν ἱερεὺς τῶν Ἰουδαίων. Εἰσελθὼν δέ ποτε εἰς τὸν ναὸν τοῦ θυμιᾶσαι, εἶδε Γαβριὴλ τὸν ἄγγελον τοῦ Θεοῦ ἱστάμενον ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος· καὶ ἐφοβήθη φόβον μέγαν καὶ ἐταράχθη σφοδρῶς. Ἰδὼν
Luc. 1. 13, 14. δὲ αὐτὸν ὁ ἄγγελος ὅτι ἐφοβήθη, εἶπε πρὸς αὐτόν· « Μὴ φοβοῦ, Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς » σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει σοι υἱόν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην καὶ ἔσται » χαρά σοι καὶ ἀγαλλίασις καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. » Ὁ δὲ Ζαχαρίας εἰδώς, ὅτι αὐτός ἐστι γέρων καὶ ἡ γυνὴ αὐτοῦ γραῦς, ἀπεκρίθη πρὸς τὸν ἄγγελον καὶ εἶπε· « Κύριε, κατὰ τί » γνώσομαι τοῦτο; ἐγὼ γὰρ εἰμι πρεσβύτης καὶ ἡ γυνή μου προβεβηκυῖα. » Καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ
Ibid. 19. ἄγγελος καὶ εἶπεν· « Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην εὐαγγελί- » σασθαί σοι ταῦτα· καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἕως οὗ γεννηθῇ ὁ υἱός σου. » Καὶ ἦν μὴ λαλῶν. Συνελήφθη οὖν παραχρῆμα ὁ πρόδρομος τοῦ Χριστοῦ· καὶ ὅτε ἐγεννήθη, ἐδόξασαν τὸν Θεὸν ἡ μήτηρ αὐτοῦ καὶ ὁ πατὴρ αὐτοῦ. — 2 : Εὐσεβίου [2]. Οὗτος εὐσεβὴς ὢν καὶ φιλόθεος, κρατεῖται ὑπὸ τοῦ τῆς Φοινίκης ἄρχοντος· καὶ ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν καὶ θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεὶς ἀλλ' ἐλεγχθεὶς ὑπ' αὐτοῦ ἰσχυρῶς, κρεμᾶται ἐπὶ ξύλου καὶ κατακαίεται τὰς πλευρὰς καὶ ἁλσὶν αὐτὰς ἐν τριχίνοις ὑφάσμασιν ἀνατρίβεται. Ὡς δὲ καὶ ταύτῃ τῇ τιμωρίᾳ ὑπούργει τὸ σῶμα, ἔφησεν ὁ δικαστής· « Οὐ νικήσεις τὴν τοῦ δημίου χεῖρα οὐδὲ τὸ ξίφος ἡκονημένον. » Καὶ ταῦτα εἰπόντος αὐτοῦ καὶ ἀποφηναμένου αὐτοῦ, ξίφει τὴν κεφαλὴν ἀπετμήθη, παραδοὺς τῷ Κυρίῳ τὴν ἁγίαν αὐτοῦ ψυχήν. — 5 : Ἡραῖος. Ἡ ἁγία παρθένος καὶ ὁσιομάρτυς τοῦ Χριστοῦ Ἡραῖς ὑπῆρχεν ἐκ τῆς

[1] *Cf. supra, lin. 29.* — [2] Εὐσεβείου C.

καταθλᾷ, ἔπειτα τοὺς μηροὺς αὐτῶν καὶ τὰ σκέλη καὶ τοὺς πόδας ὡσαύτως συνέτριψεν, ὡς ὅλον μὲν τὸ ὀστῶδες ἀπαλυνθῆναι, τὸ σαρκῶδες δὲ χυλωθὲν καὶ τῷ αἵματι συμφυραθὲν ἀπονεκρωθῆναι. Μετὰ δὲ ταῦτα ἀνθράκων πλήθη ἀθροίσας καὶ χαλκέα προσκαλεσάμενος, εἶτα εἰσφυσᾶν [10] τῇ σφοδρᾷ τῶν ἀνθράκων πυρᾷ (πλησίον γὰρ αὐτῶν ἦν) προστάξας, σιδηρᾷ λαβίδι καὶ πεπυρακτωμένῳ σιδήρῳ τῶν αἰδοίων αὐτῶν ἐκέλευσε [11] καὶ τῶν λοιπῶν τοῦ σώματος μερῶν ἀποτεμεῖν καὶ τοῖς τῶν μακαρίων στόμασιν ἐμβαλεῖν, ὅπως τὰς σάρκας αὐτῶν καταφάγωσι. Τούτων ἐν τούτοις τελειωθέντων, τὸν πατέρα αὐτῶν Ἰωάννην ἑλκύσας πρὸς ἑαυτὸν καὶ τῇ λαιᾷ χειρὶ τὸν τράχηλον ἀντανακλάσας, τὴν ἰδίαν αὐτοῦ μάχαιραν ἔπηξεν ἐν τῷ φάρυγγι· καὶ οὕτω σπαίροντα ἐπάνω τῶν ἰδίων τέκνων ἀφεικέναι [12] τὸ πνεῦμα· εἶθ' οὕτως πυρὰν πολλὴν ἀνάψας, κατέκαυσεν ἅμα τῶν ἁγίων τὰ σώματα. Τὸν δὲ μακάριον Ἀνδρέαν, γηραιὸν ὄντα πάνυ τὴν ἡλικίαν, χρόνοις πολλοῖς καθειρχθέντα καὶ λιμῷ καὶ δίψει καὶ γυμνότητι καὶ ταλαιπωρίαις τεταριχευμένον καὶ μὴ πειθόμενον τῷ κυνί, τί ποιεῖ ὁ θήρ; ἵππῳ ἐπιβὰς καὶ ἀκόντιον λαβών, κατευθὺ τὸν ἅγιον εὑρὼν κατὰ τοῦ στήθους αὐτοῦ ἐνέπηξεν αὐτό. Ἐπεὶ οὖν ὁ ἅγιος εὐχαριστήσας ἔρρηξε φωνὴν πρὸς τὸν Θεόν, αὖθις ἐκ τῶν ὄπισθεν ὁ μιαιφόνος παριὼν ἑτέρῳ τοῦτον ἔβαλε κατὰ τοῦ νώτου πελτῷ· καὶ οὕτω κατὰ τῶν σπλάγχνων αὐτοῦ τῶν δοράτων διαδυομένων, πίπτει ὁ μακάριος κατὰ τῆς γῆς, μαχαίρᾳ τὴν τιμίαν ἀφαιρεθεὶς κεφαλήν· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. Sept. 23.

4. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων γυναικῶν Ξανθίππης καὶ Πολυξένης τῶν αὐταδέλφων, αἵτινες ὑπῆρχον | ἐπὶ Κλαυδίου Καίσαρος, τῆς [1] f. 36.
Ἱσπανῶν χώρας. Ὧν ἡ [2] μὲν Ξανθίππη γυνὴ ὑπῆρχε Πρόβου ἀνδρός, τὴν ἀρχὴν ἰθύνοντος τῆς χώρας. Αὕτη ἐμαθητεύθη παρὰ τοῦ ἀποστόλου Παύλου, κατὰ τὴν χώραν ἐνδημήσαντος [3], καὶ παραίτιος γέγονε πίστεως καὶ σωτηρίας καὶ τῷ ἀνδρὶ αὐτῆς καὶ ἑτέροις πολλοῖς. Ἡ δὲ Πολυξένη πρὸ τοῦ βαπτίσματος ἡρπάγη παρά τινος ἐν διαφθορᾷ· ἀλλὰ χάριτι Θεοῦ ἄφθορος ἔμεινε, τάχα [4] πολλῶν συμπεσόντων [5] αὐτῇ δυσχερῶν. Ἤκουσε δὲ καὶ τοῦ ἀποστόλου Πέτρου παραπλέουσα καὶ πάλιν τοῦ ἀποστόλου Φιλίππου ἐν τῇ Ἑλλάδι γενομένη καὶ ἔσχατον τοῦ ἀποστόλου Ἀνδρέου, ὃς καὶ ἐβάπτισεν αὐτήν. Πολλῶν δὲ πιστευσάντων δι' αὐτῆς, παραλαβοῦσα Ὀνήσιμον τὸν ἀπόστολον, ὥρμησεν ἐπὶ τὴν πατρίδα αὐτῆς Ἱσπανίαν μετὰ τὸν πολὺν ἐκεῖνον πλοῦν καὶ τὰς ἀπείρους φυγάς, συνεπαγομένην [6] ἔχουσα καὶ τὴν Ῥεβέκκαν [7], μεθ' ἧς ἐβαπτίσθη· καὶ κατέλαβε τὴν ἑαυτῆς ἀδελφὴν Ξανθίππην· αὗται [8] τὸν ὑπόλοιπον βίον καλῶς ἀνύσασαι καὶ πολλὰς δυνάμεις ἐπιδειξάμεναι, ἐν εἰρήνῃ πρὸς Κύριον ἐξεδήμησαν.

5. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος

— [10] εἰσφυσσᾶν S. — [11] ἐκέλευε Sa. — [12] ἀφεῖναι Sa.
4. — [1] ἐκ τῆς Sa. — [2] ἡ Sa, οἱ S. — [3] ἐνδημήσαντος Sa, δημήσαντος S. — [4] τάχα *om.* Sa. — [5] ἐμπεσόντων Sa. — [6] συνεπομένην Sa. — [7] Ῥεβέκαν Sa. — [8] τοίνυν *add.* Sa.

Αἰγυπτίων χώρας καὶ πόλεως Ἀλεξανδρείας. Πλέοντος δὲ εἰς τὸν αἰγιαλὸν τῆς πόλεως Ἀλεξανδρείας τοῦ ἡγεμόνος, καὶ ἔχοντος μεθ' ἑαυτοῦ πλῆθος χριστιανῶν δεσμίων, πρεσβυτέρων, διακόνων, μοναζόντων, ἁγίων γυναικῶν καὶ παρθένων, εἶδεν αὐτοὺς ἡ μακαρία Ἡραῖς ἔτι γεμίζουσα ὕδωρ καὶ τὸ ἅγιον σχῆμα περιβεβλημένη τῶν μοναζουσῶν καὶ ἠρώτησε τὰς παρθένους ὅτι διὰ τί ἐν δεσμοῖς κατέχονται; Αἱ δὲ παρθένοι εἶπον ὅτι· « Διὰ τὸ ὄνομα τοῦ Χριστοῦ τὰ δεσμὰ περικείμεθα, ὅπως ὑπὲρ αὐτοῦ μαρτυ- » ρήσωμεν καὶ σωθῶμεν· » ὅθεν παρεκάλεσε τὸν κομενταρήσιον ἡ ἁγία Ἡραῖς, καὶ συνέδησε καὶ αὐτὴν μετὰ τῶν λοιπῶν ἁγίων. Καταλαβόντες οὖν τὴν Ἀντινοούπολιν καὶ πολλὰ τιμωρηθέντες παρὰ τοῦ ἡγεμόνος καὶ μὴ πεισθέντες θῦσαι τοῖς εἰδώλοις, διὰ ξίφους ἐτελειώθησαν ἅπαντες. — 4 : Ξανθίππης καὶ Πολυξένης. Αὗται ὑπῆρχον ἐπὶ τῆς βασιλείας Κλαυδίου Καίσαρος ἐκ πόλεως ὁρμώμεναι τῆς Σπανίας. Καὶ ἡ μὲν Ξανθίππη γυνὴ ἐτύγχανε Πρόβου ἀνδρὸς τὴν ἀρχὴν ἐπέχοντος [3] τῆς χώρας. Ἡ δὲ Πολυξένη πρῶτον μὲν ἤκουσε τοῦ ἀποστόλου Πέτρου καὶ πάλιν τοῦ ἀποστόλου Φιλίππου καὶ ἔσχατον τοῦ ἀποστόλου Ἀνδρέου· ὅστις καὶ ἐβάπτισεν αὐτὴν κατὰ τὴν Ἑλλάδα παραγεναμένην παρά τινος ἁρπάσαντος αὐτήν, ἀλλὰ μὴ διαφθείραντος Θεοῦ χάριτι. Ἀνακάμψασα δὲ ἐπὶ τὴν πόλιν αὐτῆς Σπανίαν μετὰ παρθένου τινὸς ὀνόματι Ῥεβέκκας, ἥτις ἦν ἐκ τῶν Ἰουδαίων, εὗρε τὴν αὐτῆς ἀδελφὴν Ξανθίππην διαλάμπουσαν ἐν ταῖς ἀρεταῖς· καὶ διδάξασαι πολλὰς τὴν τοῦ Χριστοῦ πίστιν, ἐν εἰρήνῃ ἐτελειώθησαν. — 3 : Ἀνδρέου, Ἰωάννου, Πέτρου, Ἀντωνίου τῶν ἐν Ἀφρικῇ τελειωθέντων. Κατὰ τοὺς χρόνους Βασιλείου τοῦ εὐσεβοῦς βασιλεύοντος, Ἀβράχημ [4] ὁ τῶν Ἀγαρηνῶν ἔξαρχος πορθήσας τὰς Συρακούσας Ἰωάννης [5] ἅμα τοῖς υἱέσι Πέτρῳ <καὶ [6]> Ἀντωνίῳ ἐκ Σικελίας εἰς Ἀφρικὴν εἰσάγεται· οὓς τοῖς Ἀγαρηνῶν ἐκέλευσεν ἐκπαιδεύεσθαι μαθήμασιν. Οἱ εἰς ἄνδρας αὐτῷ τελεῖν κατοφθέντες, δημοσίας τινὰς διοικεῖν φροντίδας κελεύονται· ὑποκρινόμενοι μὲν τὴν τῶν Σαρακηνῶν μιαρὰν καὶ βέβηλον θρησκείαν [7], ὅλως δὲ τῷ Θεῷ προσανέχοντες καὶ συχνὰς ἐλεημοσύνας τοῖς ἐνδεέσι παρέχοντες· ἐπεὶ δὲ οὐκ ἔλαθον, φυλακῇ βάλλονται ξύλῳ τοὺς πόδας πεδοῦνται, ῥάβδοις κατὰ τῶν ποδῶν αἰκίζονται· ὅθεν τριακοσίας πληγὰς δεξάμενος Ἀντώνιος ὄνῳ τε ἐπικαθεσθεὶς πομπεύεται ἐπὶ μέσης τῆς πόλεως. Πέτρος δὲ κατὰ τῆς γαστρὸς καὶ τοῦ τένοντος ῥάβδοις αἰκίζεται καὶ τῇ εἱρκτῇ δίδοται· ἔπειτα τοὺς βραχίονας καὶ τὰς χεῖρας, τὰ σκέλη καὶ τοὺς πόδας ξύλοις θλῶνται καὶ πεπυρωμένῃ [8] πυράγρᾳ τὰ αἰδοῖα τοῦ σώματος ἀποτέμνονται, <ἃ [6]> καὶ τῷ στόματι προσάγονται. Ἐπὶ τούτοις δὲ τῶν ἁγίων τελειωθέντων, ὁ πατὴρ αὐτῶν Ἰωάννης μαχαίρᾳ πληγεὶς κατὰ τοῦ φάρυγγος, καὶ αὐτὸς ἀφῆκε τὸ πνεῦμα. Τὰ δὲ σώματα αὐτῶν Sept. 23.

— [3] ἐπέχων C. — [4] Brachimus *in Vita S. Eliae iunioris*, Act. SS., *Aug. t. III, p. 501*, Abrami rex Sarracenorum, Lupus protospatarius *ad an. 901*, M. G., *Scr. V, p. 53.* — [5] Ἰωάννη C. — [6] *om.* C. — [7] μιαρὰ .. θρησκεία C. — [8] πεπυρωμένα C.

Sept. 23. Ἡραΐδος[1] τῆς παρθένου, τῆς τῶν Αἰγυπτίων χώρας ὁρμωμένης ἐν τόπῳ ἐπιλεγομένῳ Τάμα. Προεγράφη δὲ τὰ κατ' αὐτὴν ἐν τῇ πέμπτῃ τοῦ αὐτοῦ μηνός· ἡ αὐτὴ δέ ἐστι, κἂν εὑρίσκεται ἐν διαφόροις συναξαρίοις εἴς τε τὰς πέντε[3] καὶ εἰς τὰς εἴκοσι τρεῖς[2].

6. Τῇ αὐτῇ ἡμέρᾳ[1] μνήμη τῆς ἁγίας μάρτυρος Περσίσσης[2].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΔ'.

Sept. 24. **1.** Ἄθλησις τῆς ἁγίας πρωτομάρτυρος ἐν γυναιξὶ καὶ ἀποστόλου Θέκλας[1]. Αὕτη γέγονεν ἐκ πόλεως Ἰκονίου[2], μητρὸς Θεοκλείας τῶν εὐγενῶν καὶ ἐνδόξων. Κατηχήθη δὲ τὸν λόγον τῆς πίστεως παρὰ Παύλου τοῦ θείου ἀποστόλου, διδάσκοντος ἐν τῷ τοῦ Ὀνησιφόρου οἴκῳ. Ἦν δέ, ὅτε προσῆλθε τῇ πίστει, ἐτῶν δεκαοκτώ, μνηστευθεῖσα Θαμυρίδι· τῷ δὲ θείῳ ἔρωτι μᾶλλον γενομένη κάτοχος, περιφρονήσασα καὶ μητρὸς καὶ μνηστῆρος, τῷ Παύλῳ ἠκολούθησε· καὶ μετ' αὐτοῦ γενομένη ἐν Ἀντιοχείᾳ τῆς Πισιδίας[3] καὶ τῷ τῆς πόλεως ἡγεμόνι
f. 36*. ἐμφανισθεῖσα, θηρίοις ἐκδίδοται· μείνασα δὲ τῆς ἐξ αὐτῶν λύμης ἀλώβητος, ὡς καὶ πρότερον τῆς καμίνου, εἰς ἣν ἀπερρίφη ἐν Ἰκονίῳ, ἐκ νεφέλης ὕδατος καὶ χαλάζης αὐτῇ ἐκχυθέντων καὶ πολλοὺς τῶν ἀπίστων διαφθειράντων, ἐπὶ πλεῖον[4] ἐπέτεινεν ἑαυτὴν τῷ τοῦ Χριστοῦ πόθῳ· ἦν γὰρ αὐτὸς ὁ Χριστὸς ἐν εἴδει Παύλου φανεὶς αὐτῇ. Ταύτης δὲ λεγούσης πρὸ τοῦ ἐπιβῆναι τοῦ πυρός· «Ὡς μικρο» ψύχῳ καὶ ἀγεννεῖ πάντως οὔσῃ ἦλθε Παῦλος » ὀφθῆναί μοι, » ὁ Χριστὸς εἰς οὐρανοὺς ἀνήει ὁρώσης αὐτῆς· καὶ ταῦτα μὲν[5] πρὸ τοῦ ἐπιβῆναι τοῦ πυρός· πρὸ δὲ τοῦ θηρίοις ἐκδοθῆναι ἐν Ἀντιοχείᾳ Φαλκωνίλλαν[6] τὴν θυγατέρα Τρυφαίνης, θανοῦσαν καὶ ἑλληνίδα οὖσαν τῇ πίστει, μετήνεγκε διὰ προσευχῆς ἐπὶ τὸν χορὸν τῶν δικαίων· ἦν γὰρ ἡ Φαλκωνίλλα τοῦτο αἰτησαμένη δι' ὀνειράτων Τρύφαιναν τὴν[7] οἰκείαν μητέρα· ὡς δὲ τῶν θηρίων, ἄρκτου τε καὶ λεαίνης καὶ λέοντος παραδόξως ἀπηλλάγη, ἰδοῦσα λάκκον μεμεστωμένον ὕδατος καὶ φώκας ἔχοντα ἐν τῷ ὕδατι, καθῆκε τῷ λάκκῳ ἑαυτὴν εἰποῦσα· « Βαπτίζομαι ἐν τῷ ὀνόματί σου, » κύριε Ἰησοῦ Χριστέ. » Τῇ ὑστέρᾳ τῇδε ἡμέρᾳ ἀμέλει[8] καὶ θηρίων ἑτέρων τῷ λάκκῳ ἐπιβληθέντων, πυρὸς καὶ ἀστραπῆς φέγγος ταῖς φώκαις ἐπιφανὲν νεκρὰς πάσας ἀναπλεῦσαι (ὡσαύτως καὶ τὰ θηρία) πεποίηκε· τὴν Θέκλαν δὲ νεφέλη πυρὸς ἐπισκιάσασα, οὐ μόνον ἄψαυστον αὐτὴν ἐποίησεν, ἀλλὰ καὶ γυμνὴν θεωρεῖσθαι οὐ παρεῖχέ τινι· ὕστερον δὲ προσδεθεῖσα καὶ ταύροις καὶ ὑπεράνω πάντων γενομένη[9] καὶ πολλοὺς πρὸς τὴν πίστιν ἐπιστρέψασα καὶ ἐν Μύροις τῆς Λυκίας γενομένη

5. — [1] Ἡραΐδος S, Ἱεραΐδος Fa. — [2] *ita* S.
6. — [1] καὶ Sa. — [2] Περσίας Fa:
1. — [1] Θέκλης Sa. — [2] Εἰκονίου Sa. — [3] Πισσιδίας Sa. — [4] πλέον Sa. — [5] μὲν *om.* Sa. — [6] Φαλκωνίλαν Sa. — [7] τε S. — [8] ἀμέλλει S. — [9] (ταύροις - γενομένη) ταύροις ἀγρίοις καὶ ἐπὶ πᾶσι τούτοις χάριτι Χριστοῦ ὑπερνικήσασα Sa.

Sept. 23. πυρὶ παρεδόθησαν. Ὁ δὲ μακάριος Ἀνδρέας ἔτεσι πλείστοις τῷ δεσμωτηρίῳ προσταλαιπωρήσας, ὥσπερ τις σκοπὸς στὰς λόγχῃ μιᾷ κατὰ τοῦ στήθους βάλλεται καὶ ἑτέρᾳ κατὰ τοῦ νώτου, καὶ πεσὼν ἐπὶ τῆς γῆς τὴν κεφαλὴν τέμνεται· καὶ οὕτως ἐπληρώθη αὐτῶν ἡ μαρτυρία. — **Cb** : 1 : τὸ νέον ἔτος καὶ ἡ σύλληψις κτλ. — 2. 5. 4. — **M** : 1. 3. 5. 4. — **Mv** : 1. 3. 5. 4. — **Mr** : 1.

Sept. 24. SYNAXARIA SELECTA. **Sa** : 1. — **H** : 1. — **P** : 1. — Τῆς ἁγίας μάρτυρος Πέρσης (Sept. 23[6]). — **F** : 1. — **Fa** : 1. — **Fb** : 1. — **B** : 1. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **O** : 1, ita des. : ἐγένετο δὲ ὁ πᾶς χρόνος αὐτῇ ἔτη ἐνενήκοντα, ὡς εἶναι μετὰ τὸ προσελθεῖν αὐτὴν τῇ πίστει ἔτη δύο καὶ ἑβδομήκοντα, ἐν οἷς τὸν καλὸν ἀγῶνα ὑπὲρ τῆς εἰς Χριστὸν διήνυσεν πίστεως. Τελεῖται δὲ ἡ ταύτης σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς Κριθοπωλίοις[1], τῆς κατὰ συνήθειαν <λιτῆς[2]> ἀπερχομένης ἐν τῷ Φόρῳ καὶ μετὰ τὴν ἐκεῖ συνήθη εὐχὴν ἐν τῷ πανσέπτῳ αὐτῆς διαβαινούσης ναῷ. — **G** : 1. — **C** : 1, mutil. — **Cb** : 1. — Τῆς ἁγίας μάρτυρος Πέρσης. — **M** : 1. — Τοῦ ὁσίου πατρὸς ἡμῶν Κόπριος. Οὗτος ἐν κοπρίᾳ ἐγεννήθη, ἔξω τῆς μονῆς τοῦ μεγάλου Θεοδοσίου τοῦ κοινοβιάρχου, παρὰ γυναικὸς διωκομένης ὑπὸ τῶν Ἀγαρηνῶν μετὰ καὶ ἄλλων οὐκ ὀλίγων πλησιοχώρων προσφυγόντων τῷ ἁγίῳ ἐπὶ σωτηρίᾳ. Μετὰ γοῦν τὴν τῶν ἀθέων[3] διάβασιν, κατασιγασθέντων ὑπὸ τῆς ἐνοικούσης αὐτῷ θείας χάριτος εὑρόντες οἱ μοναχοὶ τῆς μονῆς τὸ γεννηθὲν ἐν τῇ κοπρίᾳ παιδίον, προστάξει τοῦ μεγάλου Θεοδοσίου, ἀνελάβοντο[4] τοῦτο καὶ Κόπριν ὠνόμασαν· ἐτρέφετο δὲ τὸ παιδίον γάλακτι αἰγός. Ἡ γοῦν ἀφορισθεῖσα αἴξ πρὸς τὸ θηλάζεσθαι[5] τὸ παιδίον ἐνέμετο μὲν μετὰ τῶν λοιπῶν· ὁπηνίκα δὲ τὴν ὥραν τοῦ θηλάσαι τὸ παιδίον ἐστοχάσατο[6], μόνη κατήρχετο ἐκ τοῦ ὄρους· καὶ μετὰ τὸ θηλάσαι τὸ παιδίον, πάλιν ὑπέστρεφε· καὶ τοῦτο οὕτως ἐποίει, μέχρις ἂν ὁ παῖς δραστικωτέρας ἐδράξατο τροφῆς. Οὕτως εἰς ἡλικίαν τελειοτέραν[7] φθάσας, ποθεινὸς ἦν τῷ μεγάλῳ Θεοδοσίῳ· διὸ καὶ Πνεύματος ἁγίου κατηξιώθη[8], καὶ τὸ κατ' εἰκόνα φύλαξας τὰ θηρία ὑπέτασσε[9]· ἄρκτον γὰρ εὑρών ποτε[10] ἐν τῷ κήπῳ[11] θριδακίνας ἐσθίουσαν καὶ ἐκ τοῦ ὠτὸς κρατήσας αὐτήν, ἤγαγεν ἔξω καὶ τῇ τοῦ μεγάλου εὐχῇ ταύτην ἀσφαλισάμενος· ἡ δὲ[12] οὐδέποτε ἄλλοτε ὥρμησεν ἐν τῷ κήπῳ εἰσελθεῖν. Ἀλλὰ καὶ μετὰ ὄνου εἰς τὸ ὄρος ἀνελθὼν χάριν μετακομιδῆς[13] ξύλων <ὡς[14]> ἐποιεῖτο <τὴν τούτων[15]> συλλογήν, ἄρκτος ἐλθοῦσα ἔπληξε τὸν ὄνον[16] ἐν τῷ μηρῷ. Κρατήσας οὖν τὴν ἄρκτον ὁ Κόπρις ἐπέθηκεν αὐτῇ τὰ ξύλα, λέγων· « Οὐκ ἐῶ σε· σὺ γὰρ ποιήσεις τὸ τοῦ ὄνου διακόνημα, ἄχρις ἂν ὑγιὴς γένηται. » Καὶ τῇ εὐχῇ τοῦ μεγάλου ὑπετάσσετο αὐτῷ ἡ ἄρκτος καὶ διεκόμιζε τὰ ξύλα. Οὗτος, ὅτε ἐν τῷ μαγειρείῳ ἐξυπηρέτει,

[1] κριθοπολίοις O. — [2] λιτῆς *suppleri, om.* O. — [3] τὴν τῶν ἀθέων Mv, τὴν ἄθεον M. — [4] ἀντελάβοντο M. — [5] θηλάζειν Mv. — [6] ἐστοχάζετο Mv. — [7] τελεωτέραν Mv. — [8] ἠξιώθη Mv. — [9] ὑπέταξε Mv. — [10] *om.* Mv. — [11] ποτε *add.* Mv. — [12] ἡ δὲ *om.* Mv. — [13] συγκομιδῆς Mv. — [14] ὡς Mv, *om.* M. — [15] τὴν τούτων Mv, *om.* M. — [16] τὸν ὄνον M, τοῦτον Mv.

πρὸς τὸν ἅγιον Παῦλον καὶ ὑπ' αὐτοῦ τὴν ἀποστολὴν λαβοῦσα, ἐν τῇ ἰδίᾳ πατρίδι παραγίνεται· καὶ ἔν τινι τῶν ὀρέων τῆς λεγομένης παλαιᾶς Σελευκείας, καλουμένῳ Καλαμεῶνι[10], ἰδιάσασα τὸν
5 βίον κατέλιπε, πέτρας ῥαγείσης καὶ ὑποδεξαμένης αὐτήν, ὡς μηδεμίαν ὅλως ἁρμονίαν[11] φαίνεσθαι. Ὁ δὲ πᾶς χρόνος[12] αὐτῆς ἐγένετο ἔτη ἐνενήκοντα. Πολλὰ δὲ θαύματα ἰδιάζουσα πεποίηκεν ἡ πρωτό-
f. 37. μαρτυς· | εἰς τὴν πέτραν δὲ διὰ τοὺς αὐτῇ ἐπιστάν-
10 τας ἀκολάστους ἄνδρας τοῦ διαφθεῖραι αὐτὴν εὐξαμένη ῥυσθῆναι εἰσῆλθε, θείας φωνῆς αὐτῇ προτρεψάσης. Οἱ δὲ βέβηλοι οὗτοι ἄνδρες τὸ μέγα τοῦτο θεασάμενοι[13] θαῦμα, τοῦ ὠμοφορίου τῆς καλλινίκου ἐπιλαβόμενοι διεσπάσαντό τι μέρος κατὰ θείαν οἰκονομίαν, εἰς πίστιν μὲν τοῦ γενομένου, εἰς εὐλογίαν δὲ καὶ παραμύθιον τῶν εἰς ὕστερον φιλοχρίστων. Τελεῖται δὲ ἡ αὐτῆς[14] σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῆς τῷ ὄντι ἐν τοῖς Κριθοπωλίοις[15].

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

1. Ἄθλησις τῶν ἁγίων μαρτύρων Σαβινιανοῦ[1], Παύλου καὶ Τάττης[2] γνησίων ἀδελφῶν ἐκ πόλεως Δαμασκοῦ.

2. Καὶ τοῦ ὁσίου Θεοφίλου ἀρχιεπισκόπου
15 Ἐφέσου τοῦ ὁμολογητοῦ.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας καὶ ἀειμνήστου Εὐφροσύνης. Αὕτη γέγονε θυγάτηρ Παφνουτίου τοῦ Αἰγυπτίου, ἀνδρὸς σφόδρα πλουσίου. Ἥτις μόνη αὐτῷ καταλειφθεῖσα, τῆς μητρὸς
20 τὸν βίον ἀπολιποῦσης, πρὸς ὥραν ἐλθοῦσα τοῦ γάμου, λάθρα τοῦ πατρὸς κειραμένη τὴν κόμην καὶ ἀνδρὸς σχῆμα ἀναλαβοῦσα, πρός τι μοναστήριον ἔρχεται, Σμάραγδος λεγομένη καὶ τὸν εὐνοῦχον ὑποκρινομένη[1]· πᾶσαν δὲ ἄσκησιν διελθοῦσα καὶ ὑπὸ πάντων διαβοωμένη ἐθαυμαστώθη. Μετὰ δὲ τριάκοντα ὀκτὼ[2] ἐτῶν περίοδον ἀρρωστίᾳ περιπεσοῦσα, πολλῶν ἐρχομένων εἰς ἐπίσκεψιν[3], συνῆλθεν ὡς εἷς τῶν πολλῶν καὶ ὁ ταύτης πατήρ[4]. Ἡ δὲ τοῦτον ἰδοῦσα ἔφη· « Μὴ λυποῦ, πάτερ, μηδὲ ζήτει » τὸ τέκνον σου· ἐγὼ γάρ εἰμι. » Καὶ παραυτίκα τὴν ψυχὴν τῷ Θεῷ παρέθετο. Αὐτὸς δὲ ἀθυμίᾳ τὴν ψυχὴν[5] παραλυθείς, ἐφ' οἷς εἶδε, μόλις ποτὲ εἰς ἑαυτὸν ἐλθὼν τό· « Κύριε ἐλέησον » ἀνέκραξε καὶ τὸ κελλίον τῆς θυγατρὸς παραλαβὼν καὶ πάντα τὸν λοιπὸν[6] χρόνον ἐν αὐτῷ διανύσας, πρὸς Κύριον[7] ἐξεδήμησε.

4. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τοῦ ἁγίου καὶ ὁσιομάρτυρος Παφνουτίου. Ὃς[1] ἦν ἐπὶ Διοκλητια-

25 — [10] Καλαμῶνι Sa, *et* Acta Pauli et Theclae *in cod. G*, Lipsius, *p. 271.* — [11] ἁρμογὴν Sa. — [12] τῆς ζωῆς *add.* Sa. — [13] θεασάμενη Sa. — [14] ταύτης Sa. — [15] κριθοπωλείοις Sa.
1. — [1] Σαβιανοῦ Sa. — [2] Τάττης Sa.
3. — [1] (καὶ - ὑποκρινομένη) *om.* Sa. — [2] λ' καὶ η' Sa. — [3] ταύτης *add.* Sa. — [4] ὁ πατὴρ αὐτῆς Sa. — [5] (τῷ Θεῷ - ψυχὴν) *om.* Sa. — [6] ἐπίλοιπον Sa. — [7] Θεὸν Sa.
30 4. — [1] *Hoc loco membrana lacera* S.

τοῦ χαλκοῦ σκεύους παφλάζοντος[17] καὶ τοῦ ὀσπρίου ἐκχεομένου, μὴ[18] εὑρὼν τὸ κατὰ συνήθειαν ξύλον, χαλάσας γυμνὴν τὴν χεῖρα εἰς τὸν παφλάζοντα[19] λέβητα[20], κατέπαυσε τὸν βρασμὸν αὐτοῦ, ἀβλαβὴς διαμείνας. Οὗτος ἐννενηκονταετὴς γεγονὼς ἔλαμπε μέσον τῶν ἁγίων[21] πατέρων ἐκείνων ὥσπερ τις ἥλιος, τῇ ἱερωσύνῃ[22] κοσμούμενος καὶ παντοίαις ἰδέαις ἀρετῶν· καὶ ἐν ἀποκρύφῳ ἀεὶ ἑστὼς τόπῳ,
35 παρέτεινε τὰς πρὸς Κύριον εὐχάς, ὡς καὶ τὸν μέγαν Θεοδόσιον μετὰ τὴν πρὸς Κύριον αὐτοῦ ἐκδημίαν φαίνεσθαι συνερχόμενον αὐτῷ καὶ συμψάλλοντα, καὶ τὸ τελευταῖον εἰπεῖν πρὸς αὐτόν· « Ἰδού, ἀδελφὲ » Κόπρι, ὁ καιρὸς τῆς ἀναλύσεώς σου ἐπέστη, καὶ ἐλθὲ πρὸς ἡμᾶς ἐν τῷ ἑτοιμασθέντι σοι τῆς ἀναπαύ» σεως τόπῳ. » Ὡς οὖν[23] ἤκουσεν ὁ θαυμάσιος, μετ' ὀλίγας ἡμέρας μικρὸν μαλακισθεὶς καὶ τοὺς ἁγίους πατέρας ἀσπασάμενος, ἀπῆλθεν ἐν εἰρήνῃ πρὸς Κύριον. — **Mv** : 1. — Κόπριος. — **Mr** : 1. — Κόπρις.

40 SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 4. — Ἴας (Sept. 11[2]). — 1. — **P** : Ἴας. — 4. 1. 3. 2. — Καὶ Ῥωμανοῦ μάρτυρος. — **F** : 5. 4. 1. — Καὶ τῶν ἁγίων μαρτύρων Πρίσκου καὶ Νικολάου ἐν Βλαχέρναις (Sept. 22[4]). — Καὶ Ῥωμανοῦ μάρτυρος. — 2. 3. — **Fa** : 5. 4. 1. — Πρίσκου καὶ Νικολάου. — Καὶ Ῥωμανοῦ. — 2. 3. — **Fb** : 5. 4. 1. — Πρίσκου καὶ Νικολάου. — Καὶ Ῥωμανοῦ. — 2. 3. — **B** : 5 : Ἡ ἀνάμνησις τῶν φόβων τοῦ μεγάλου σεισμοῦ, καὶ τῆς τοῦ παιδὸς ἐν ἀέρι ἁρπαγῆς[1]. Ἐπὶ τῆς βασι-
45 λείας τοῦ μεγάλου[2] Θεοδοσίου σεισμὸς ἐγένετο, οἷος οὐδέποτε γέγονεν. Ἐξ οὗ καὶ πᾶς ὁ λαὸς σὺν τῷ βασιλεῖ καὶ τῷ πατριάρχῃ ἀφέντες τὴν πόλιν, ἐξῆλθον ἐν τῷ Κάμπῳ πλησίον τοῦ Ἑβδόμου καὶ ἔμενον ἐκεῖ, διότι ἀκατάπαυστος ἦν ὁ σεισμός. Λιτανευόντων δὲ ἀπὸ τοῦ Ἑβδόμου εἰς τὸν Κάμπον πρὸς τὸ τριβουνάλιον, καὶ προστιθεμένου εἰς τό· « Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, » τοῦ « Ὁ » σταυρωθεὶς δι' ἡμᾶς, » ὅπερ ἦν τῆς τῶν θεοπασχιτῶν αἱρέσεως βλασφημούντων ὅτι καὶ ἡ θεότης
50 ἔπαθεν ἐν τῷ σταυρῷ, ἐξαίφνης παιδίον ἐκ μέσου τοῦ πλήθους ἁρπαγὲν εἰς τὸν ἀέρα ἀνεφέρετο. Πάντων δὲ μετὰ φόβου κραζόντων τὸ « Κύριε ἐλέησον », κατέβη τὸ παιδίον ὡς ὑπὸ νεφέλης ἡσύχως καὶ παρεκελεύσατο τῷ λαῷ σιωπῆσαι· καὶ εἶπεν, ὅτι οἱ τῶν ἀγγέλων χοροὶ χωρὶς τῆς προσθήκης τοῦ « Ὁ σταυρωθεὶς δι' ἡμᾶς » ψάλλουσι τὸν τρισάγιον ὕμνον. Τοῦτο δὲ εἰπόντος τοῦ παιδίου καὶ παραχρῆμα τελευτήσαντος, ἐπαύσατο σὺν τῇ αἱρέσει καὶ ὁ σεισμός. Καὶ ἐθαύμασαν ἅπαντες, δοξάζοντες
55 τὸν Θεόν. — 4 : Παφνουτίου. Ἡ τοῦ δυσσεβοῦς βασιλέως Διοκλητιανοῦ ὠμότης πολλοὺς τῶν χριστιανῶν ἀπέδειξε μάρτυρας οὐ μόνον ἐκ τῶν λαϊκῶν, ἀλλὰ καὶ ἐκ τῶν μοναχῶν· ὧν εἷς ἦν καὶ ὁ ὅσιος Παφνούτιος. Οὗτος γὰρ ἐξ Αἰγύπτου καταγόμενος, καταλιπὼν τὸν κόσμον, τὸν πλεῖστον τῆς ζωῆς αὐτοῦ χρόνον διέτριβεν ἐν ἐρήμοις. Διὰ δὲ τὸ πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφειν πρὸς τὸν

— [17] καχλάζοντος Mv. — [18] εὐχερῶς *add.* Mv. — [19] παμφλάζοντα M. — [20] (εἰς - λέβητα) *om.* Mv. — [21] *om.* Mv. — [22] ἱεροσύνῃ Mv. — [23] δὲ Mv.
60 1 (καὶ - ἁρπαγῆς) *om.* Ba. — [2] μικροῦ Ba.

Sept. 25. νοῦ τοῦ βασιλέως, τὸ γένος Αἰγύπτιος πόλεως Γεντυρίας [2], τὸν πλεῖστον χρόνον διάγων ἐν ἐρήμοις [3]· ζητούμενος δὲ παρὰ τοῦ ἡγεμόνος Ἀριανοῦ [4] διὰ τὸ [3] πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφειν πρὸς τὸν Θεόν, ἐξ ἐπιφανείας ἀγγέλου κατῆλθε. Πρὸς
f. 37v. ὃν | παρρησιασάμενος, δεσμεῖται σιδήροις καὶ ἐπὶ ξύλου ἀναρτᾶται [5] καὶ ξέεται ἐπὶ τοσοῦτον, ὥστε τὰ ἐντὸς αὐτοῦ προῦπτον φανῆναι καὶ ἐκχυθῆναι· παραδόξως οὖν αὖθις ὑπὸ θείου ἀγγέλου ὑγιασθείς [6], ὡς ταῦτα προσαρμόσαντος τῷ σώματι, ὅθεν ἐξῆλθον, καὶ ἐμφανισθεὶς τῷ ἡγεμόνι, πολλοῖς αἴτιος πίστεως καὶ μαρτυρίου γέγονε. Διὸ πάλιν τροχῷ δεσμεῖται καὶ τῇ φορᾷ τοῦ τροχοῦ κατατμηθεὶς τὰ μέλη, χάριτι Χριστοῦ ὑγιὴς ἀποκατέστη [7]. Διὸ καὶ πρὸς τὸν βασιλέα Διοκλητιανὸν παραπεμφθεὶς καὶ σταυρῷ προσηλωθεὶς ἐπὶ δένδρου φοίνικος, τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

5. Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῶν μετὰ φιλανθρωπίας Θεοῦ γενομένων φόβων καὶ πρὸ τῆς ἀναστάσεως δειξάντων ἡμῖν τὴν ἡμέραν τῆς ἀναστάσεως, τοῦ μεγάλου σεισμοῦ καὶ τῆς τοῦ παιδὸς ἐν τῷ ἀέρι ἁρπαγῆς. Τοῦ γὰρ λαοῦ παντὸς σὺν τῷ βασιλεῖ Θεοδοσίῳ καὶ Πρόκλῳ πατριάρχῃ σὺν παντὶ τῷ τῆς ἐκκλησίας πληρώματι καὶ πάσῃ τῇ πολιτείᾳ ἔξω τῆς πόλεως ἐν τῷ κάμπῳ τοῦ Ἑβδόμου διὰ τὸν φόβον τῶν σεισμῶν λιτανευόντων, ἤδη τῆς τῶν θεοπασχιτῶν αἱρέσεως ἐξ ἐπηρείας τοῦ [1] διαβόλου ἀρχὴν [2] λαμβανούσης, καὶ τῷ τρισαγίῳ ὕμνῳ τὸ « ὁ σταυρωθεὶς Θεός » βλασφημούντων καὶ τὸ πάθος τῇ ἀπαθεῖ [3] φύσει προσαπτόντων, ἐξαίφνης παιδίον ἀπὸ μέσου τοῦ πλήθους ἁρπαγὲν εἰς τὸν ἀέρα ἐφέρετο. Πάντων δὲ ἐν ἐκπλήξει καὶ φόβῳ κραζόντων ἐπὶ πολλὰς ὥρας τὸ « Κύριε ἐλέησον, » αὖθις κατηνέχθη τὸ παιδίον ὡς [4] ὑπὸ νεφέλης καθιέμενον [5] καὶ φωνῇ μεγάλῃ παρεκελεύσατο, ὅτι οἱ τῶν ἀγγέλων χοροὶ ἄνευ τῆς προσθήκης τοῦ · « Ὁ σταυρωθεὶς » τὸν τρισάγιον ὕμνον ἀναπέμπουσι τῷ Θεῷ · « Ἅγιος ὁ » Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον » ἡμᾶς » · καὶ εὐθὺς ταῖς τοιαύταις φωναῖς ἀπέδωκε τὴν ψυχὴν τῷ Θεῷ καὶ ὁ τοῦ σεισμοῦ κλόνος ἐπαύσατο.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Κϛ'.

Sept. 26. 1. Μνήμην ἐπιτελοῦμεν τῆς μεταστάσεως τοῦ ἁγίου Ἰωάννου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ [1]. Οὗτος [2] ἦν υἱὸς Ζεβεδαίου [3] καὶ Σαλώμης, ἥτις [4] ἦν [4] θυγάτηρ Ἰωσὴφ τοῦ μνήστορος. Ὁ γὰρ Ἰωσὴφ τέσσαρας υἱοὺς [4] ἔσχε, Ἰάκωβον, Συμεών [5] καὶ [6] Ἰούδαν καὶ Ἰωσῆν, καὶ θυγατέρας τρεῖς· τὴν

— [2] Κεντυρίας Sa. — [3] *casu deest in* S, *supplevi ex* Sa. — [4] Ἀρειανοῦ Sa. — [5] ἀναρτηθεὶς Sa. — [6] ὑγιωθεὶς Sa. — [7] ἀπέκατέστη Sa.

5. — [1] τοῦ *om.* Sa. — [2] ἀρχὴν Sa, ἀρχεῖν S. — [3] τοῦ Θεοῦ *add.* Sa. — [4] ὡς *om.* Sa. — [5] καθιέμενον *corr.*, *prius* καθηέμενος S.

1. — [1] τοῦ θεολόγου *add.* Sa. — [2] ὃς Sa. — [3] Ζεβαιδαίου Sa. — [4] *propter membranam laceram om.* S, *supplevi ex* Sa. — [5] Συμεῶνα Sa. — [6] καὶ *om.* Sa.

Sept. 25. Χριστόν, ἐζητεῖτο [3] φονευθῆναι παρὰ τοῦ ἄρχοντος. Καὶ πολλῶν κρατουμένων δι' αὐτόν, ὑπὸ θείου ἀγγέλου κελευσθείς, ἀπελθὼν παρέστη τῷ ἄρχοντι καὶ τὸν Χριστὸν ὁμολογήσας, δεσμεῖται σιδήροις. Καὶ ἐπὶ ξύλου κρεμασθεὶς ἐξέσθη, ἕως τὰ ἔντερα αὐτοῦ ἔπεσον ἐπὶ τὴν γῆν. Ἀλλὰ πάλιν γέγονεν ὑγιής, ἀγγέλου ταῦτα προσαρμόσαντος τῷ σώματι· ἐκ τούτου πολλοὶ ἐπίστευσαν τῷ Χριστῷ. Καὶ ἰδὼν ὁ ἄρχων πέμπει αὐτὸν σὺν τοῖς πιστεύσασι πρὸς τὸν βασιλέα Διοκλητιανόν. Καὶ παρ' ἐκείνου ἐπὶ φοίνικος σταυρωθεὶς ἐτελειώθη. Κατ' αὐτὴν δὲ τὴν ἡμέραν ἀπεκεφαλίσθησαν πεντακόσιοι μζ' μάρτυρες. — 3 : Εὐφροσύνης, τῆς μετονομασθείσης Σμαράγδου. Πολλαί εἰσι τῆς σωτηρίας ὁδοί. Καὶ γὰρ ἡ ὁσία Εὐφροσύνη, θυγάτηρ οὖσα πλουσίου τινὸς καὶ πρὸς γάμον μέλλουσα ἐκδοθῆναι, γνοῦσα τοῦτο καὶ τοῦ Χριστοῦ νύμφη θέλουσα εἶναι, προσέδραμεν ἑνὶ τῶν ἁγίων γερόντων, καὶ παρ' ἐκείνου ἐγένετο μοναχή. Εἶτα φοβηθεῖσα, ἵνα μὴ γνωρισθῇ ὑπὸ τοῦ πατρὸς αὐτῆς, ἐνδυσαμένη ἀνδρεῖα ἱμάτια καὶ μετασχηματισθεῖσα εἰς ἄνδρα καὶ μετονομάσασα [4] ἑαυτὴν Σμάραγδον, ἀπῆλθεν εἰς ἀνδρεῖον μοναστήριον, εἰς ὃ καὶ πρότερον κατὰ συνήθειαν ἀπήρχετο ὁ πατὴρ αὐτῆς. Καὶ μετὰ τοῦτο πάλιν ἀπερχόμενος καὶ τῷ ἡγουμένῳ διηγούμενος τὴν φυγὴν τῆς θυγατέρος, ἔβλεπε πολλάκις καὶ αὐτὴν παριστάμενην τῷ ἡγουμένῳ ἐν σχήματι ἀνδρὸς καὶ λυπουμένην δῆθεν διὰ τὴν θυγατέρα αὐτοῦ· ἀλλ' οὐκ ἐγνώριζεν [5] αὐτήν. Διανύσασα δὲ ἐν τῷ μοναστηρίῳ ἔτη δέκα καὶ ὀκτώ, ἠσθένησε· καὶ προσκαλεσαμένη τὸν πατέρα αὐτῆς, εἶπεν· « Ἐγώ εἰμι [6] θυγάτηρ σου· καὶ μὴ » λυποῦ. » Καὶ τοῦτο εἰποῦσα, ἐκοιμήθη. — **Ba** : 5. 4. 3. — **Bb** : 5. 4. 3. — **T** : 3. cod. mutil. — **L** : 4. — Ἴας (Sept. 11²). — 1. 2. 5. — **O** : 1. 2. 3. 5 : ἡ ἀνάμνησις ἐπιτελεῖται τῶν μετὰ φιλανθρωπίας γενομένων φόβων καὶ πρὸ τῆς ἀναστάσεως τὴν ἀνάστασιν δειξάντων· ἐν ᾗ ὁ λαὸς συνέρχεται ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ. Καὶ μετὰ τῆς λιτῆς ἀπέρχονται ἐν τῷ Φόρῳ, καὶ τὰς συνήθεις ἐκεῖ ποιήσαντες προσευχάς, παραγίνονται ἐν τῷ Κάμπῳ· καὶ μετὰ τὰς ἐκεῖσε πάλιν ἐξ ἔθους [7] τελουμένας εὐχάς, ἐπανέρχονται ἐν τῷ σεπτῷ ἀποστολείῳ τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου, τὴν λειτουργίαν ἐκεῖσε ἐπιτελοῦντες. — **G** : 5. 4. 3. — **C** : inc. mutil. 3. 1. 2. — **Cb** : 5. 4. 3. 1. 2. — **M** : 3. — Εἰς τὸν ὅσιον πατέρα Παφνούτιον. — 4 : Τοῦ ἁγίου μάρτυρος Παφνουτίου. — 5. 1 : Παύλου καὶ Τάττης καὶ τῶν παίδων αὐτῆς. — **Mv** : 3. — Εἰς τὸν ὅσιον Παφνούτιον. — 4. 5. 1. — **Mr** : 3.

Sept. 26. SYNAXARIA SELECTA. **Sa** : 1. 2. — **H** : 1. — **P** : 1. — **F** : 1. — **Fa** : 1. — **Fb** : deest. — **B** : 1 : Ἡ μετάστασις τοῦ ἁγίου ἀποστόλου Ἰωάννου τοῦ θεολόγου καὶ εὐαγγελιστοῦ [1]. Ὁ μέγας ἀπόστολος

— [3] ἐζητεῖτο B. — [4] μετονομάσασαν Ba. — [5] ἐγνώριζον Ba. — [6] ἡ *add.* Ba. — [7] ἐξέθους O.

[1] καὶ εὐαγγελιστοῦ *om.* Ba.

f. 38. Ἐσθὴρ καὶ | τὴν Μάρθαν καὶ τὴν Σαλώμην, ἥτις ἦν γυνὴ Ζεβεδαίου, μήτηρ δὲ Ἰωάννου· ἐντεῦθεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς θεῖος ἦν Ἰωάννου ὡς ἀδελφὸς Σαλώμης τῆς θυγατρὸς Ἰωσήφ· οὗτός ἐστιν Ἰωάννης ὁ ἐπὶ τῷ στήθει τοῦ Χριστοῦ ἀναπεσὼν διὰ τὸ σφόδρα καὶ φιλεῖν αὐτὸν καὶ φιλεῖσθαι ὑπ' αὐτοῦ. Μετὰ τὴν ἀνάληψιν οὖν τοῦ Κυρίου καὶ τὴν κοίμησιν τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου, ἐν Ἀσίᾳ τὸν Χριστὸν κηρύξας καὶ ἐν Πάτμῳ τῇ νήσῳ ὑπὸ Δομετιανοῦ ἐξορισθείς, ἔνθα καὶ τὸ πάνσεπτον αὐτοῦ καὶ θεῖον εὐαγγέλιον μετὰ καὶ τῆς ἀποκαλύψεως ἔγραψεν, ἐπί τινα τῶν οὐ πόρρω πόλεων μετὰ τὴν ἀπὸ τῆς Πάτμου κάθοδον παραγίνεται, Δομετιανοῦ τελευτήσαντος καὶ Νερούα βασιλεύσαντος· ἐν ᾗ [7] τὸν νεανίσκον ἐκεῖνον, ὃν δὴ τῷ τῆς πόλεως ἐπισκόπῳ παρέθετο, ἀποδράσαντα ἐξ αὐτοῦ καὶ λῃσταρχον γενόμενον ἀνεκαλέσατο πρὸς μετάνοιαν αὖθις· ἐν αὐτῇ δὴ [8] καί τινα ἕτερον βάρει χρεῶν βαρούμενον οὐκ ὀλίγων καὶ διὰ τοῦτο δὶς μὲν φάρμακον δηλητήριον πεπωκότα, παρά τινος Ἑβραίου τοῦτο λαβόντα, μηδὲν δὲ πεπονθότα δεινόν, τὸ τοῦ θείου σταυροῦ σημεῖον ἐπιβάλλοντα τῷ φαρμάκῳ, τοῦ θανάτου ἐρρύσατο· προσέτι δὲ καὶ τὸν Ἑβραῖον ἐκπλαγέντα τῷ πράγματι, ἐπείπερ κατεῖδεν ὁ θεῖος ἀπόστολος βαπτισθῆναι ζητοῦντα, ὡδήγησε πρὸς Χριστόν· καὶ λύει μὲν τῷ ἐνδεεῖ ἐκείνῳ ἀνδρὶ τὰ τῆς ἀπορίας, χόρτον πολὺν ἀμείψας εἰς χρυσὸν καθαρώτατον καὶ αὐτῷ ἐπιδούς, τὸν δὲ Ἑβραῖον βαπτίσας καὶ υἱὸν φωτὸς ἀναδείξας, ἦλθεν ἐν Ἐφέσῳ καὶ πολλὰ πλήθη προσαγαγὼν τῷ Χριστῷ καὶ θαύματα ἄπειρα ἐργασάμενος, ἃ διεξοδικώτερον ἡ κατ' αὐτὸν [9] δήλη τοῖς πᾶσιν ἱστορία διέξεισιν, ἐν εἰρήνῃ ἐτελειώθη, ὑπὸ τῶν ἰδίων μαθητῶν τῇ γῇ παραδοθείς· μετ' ὀλίγον δὲ ψηλαφηθεὶς οὐχ εὑρέθη· μετετέθη γάρ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ ἀποστολείῳ, τῷ ὄντι πλησίον τῆς μεγάλης ἐκκλησίας.

Sept. 26.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν πέντε παρθένων καὶ μοναζουσῶν, αἵτινες ὑπὸ Παύλου τοῦ ἰδίου πατρὸς τῷ ξίφει ἀνῃρέθησαν.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΖ'.

f. 38v. 1. Ἄθλησις τοῦ ἁγίου μάρτυρος Καλλιστράτου | καὶ τῶν σὺν αὐτῷ μαρτύρων [1]. Ὁ ἅγιος Καλλίστρατος ὑπῆρχε ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐν Ῥώμῃ· κατασχεθεὶς δὲ πρῶτος τῶν ἄλλων παρὰ Περσεντίνου τοῦ στρατηλάτου, τύπτεται ἀφειδῶς, καὶ πλήθους ὀστράκου λεπτοῦ ὑποστρωθέντος, σύρεται ἄνωθεν· καὶ χώνης αὐτοῦ τῷ στόματι [2] τεθείσης, λεκάνη ὕδατος πλήρης τῷ [2] στόματι τοῦ ἁγίου ἐγχέεται, ὡς ἀσκοῦ δίκην πληρωθῆναι αὐτόν· εἶτα σάκκῳ ἐμβάλλεται καὶ κατὰ τοῦ βυθοῦ ῥίπτεται τῆς θαλάσσης· τοῦ σάκκου δὲ θείᾳ προνοίᾳ διαρρηχθέντος [3], δύο δελφῖνες τὸν ἅγιον τοῖς νώτοις ὑπολαβόντες μετεωρίζουσι καὶ τῇ γῇ ἀποτίθενται· τούτου δὲ γενομένου, σαράκοντα ἐννέα μάρτυρας προσηγάγετο [4] εἰς τὴν τοῦ Χριστοῦ πίστιν, πᾶσαν αὐτοῖς [5] τὴν περὶ ἡμᾶς τοῦ Θεοῦ οἰκονομίαν ἐκθέμενος. Οἳ καὶ ῥοπάλοις τυφθέντες ἐγκλείονται καὶ πάλιν τυφθέντες εἰς τὴν πλησίον ἀπορρίπτονται κολυμβήθραν, Ὠκεανὸν καλουμένην. Εὐξαμένου δὲ τοῦ ἁγίου βαπτισθῆναι

Sept. 27.

— [7] ὦ Sa. — [8] δὲ Sa. — [9] αὐτοῦ Sa.

1. — [1] μ' καὶ θ' μαρτύρων Sa. — [2] τῷ στόματι αὐτοῦ Sa. — [3] διαρρηχθέντα || Sa. — [4] προσήγαγεν Sa. — [5] αὐτὸν Sa.

καὶ εὐαγγελιστὴς Ἰωάννης [2] μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου καὶ τὴν κοίμησιν τῆς Θεοτόκου, ἦλθεν εἰς Ἐφεσον [3] εὐαγγελιζόμενος τὸν Χριστόν· καὶ διαβληθεὶς Δομετιανῷ τῷ Ῥωμαίων βασιλεῖ [4], ἐξωρίσθη [5] εἰς Πάτμον τὴν νῆσον, ἔνθα [6] καὶ τὸ ἅγιον ἔγραψεν εὐαγγέλιον [7]. Μετὰ δὲ [8] τελευτὴν Δομετιανοῦ [9] ἀνακληθεὶς πάλιν ἦλθεν [10] εἰς Ἔφεσον. Καὶ μετὰ τὸ πολλοὺς διδάξαι καὶ διὰ τοῦ [11] βαπτίσματος [12] προσαγαγεῖν τῷ Χριστῷ, προέγνω τὴν μετάστασιν αὐτοῦ. Καὶ [13] κυριακῆς ἡμέρας [14] ἐλθούσης [15], διδάξας [16] τοὺς ἀδελφοὺς [17] τὰ μεγαλεῖα τοῦ Θεοῦ· καὶ παραγγείλας [18] αὐτοῖς φυλάττειν πάντα τὰ διδαχθέντα ὑπ' [19] αὐτοῦ, προσέταξε [20] τῷ μαθητῇ αὐτοῦ [21] παραλαβεῖν ἄνδρας κατέχοντας τὰς [22] πρὸς ὄρυγμα χρείας καὶ ἀκολουθεῖν [23]. Καὶ ἐλθὼν ἐπὶ τὸν τόπον, ἐπέτρεψεν ὀρύξαι ὄρυγμα [24] βαθὺ [25] σταυροειδές [26]. Καὶ προσευξάμενος καὶ εἰπών· « Εἰρήνη ὑμῖν, ἀδελφοί », ἀνεκλίθη [27] ἐν τῷ ὀρύγματι. Τότε καλύψαντες αὐτὸν οἱ μαθηταὶ ἀνεχώρησαν. Καὶ μετὰ τοῦτο ἐλθόντες ἰδεῖν αὐτόν, οὐχ εὗρον [28]. — **Ba** : 1. — **Bb** : 1. — **T** : 1. — **L** : 1. — **O** : 1. — **G** : 1. — **C** : 1. — **Cb** : 1 (contuli cum B). — **M** : 1. 2. — τῆς ἁγίας μάρτυρος Ἀριάδνης καὶ τῆς ἁγίας μάρτυρος χήρας γυναικός, ἥτις μαχαίρᾳ ἐτελειώθη. — Τοῦ δικαίου Γεδεωνος ὅτε τὴν ἐν τῷ πόκῳ δρόσον προεῖδεν. — **Mv** : 1. — **Mr** : 1.

Sept. 26.

Sept. 27.

SYNAXARIA SELECTA. **Sa** : 1. add. : Τελεῖται δὲ ἡ αὐτοῦ μνήμη ἐν τῇ μονῇ τῆς ἁγίας Ἐπιχάρεως τῇ οὔσῃ πλησίον τοῦ Χριστοῦ τῆς Χιλκῆς, ἔνθα ἡ ἁγία αὐτοῦ κεφαλὴ ἀπόκειται. — 2. 3. 4. — **H** : 2. 1. — **P** : 1 : Καλλιστράτου καὶ τῆς συνοδίας αὐτοῦ τὸν ἀριθμὸν μθ' στρατιωτῶν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν τῇ πρεσβυτέρᾳ Ῥώμη. — 2. — **F** : 2 (Ἐπιχάρεως tantum). — 1. 3 (... Νεκταριανοῦ). —

— [2] οὗτος ὁ μακάριος Ἰ. ὁ ἀπόστολος καὶ εὐαγγελιστὴς Cb. — [3] ἐν Ἐφέσῳ Cb. — [4] (εὐαγγελιζόμενος - βασιλεῖ) διδάσκων εἶτα Cb. — [5] ἐξορίσθη παρὰ Δομετιανοῦ τοῦ βασιλέως Cb. — [6] ἐν ᾗ Cb. — [7] εὐαγγέλιον ἔγραψεν Cb. — [8] καὶ μετὰ τὴν Cb. — [9] Νέρου βασιλεύσαντος *add.* Cb. — [10] ἦλθε πάλιν Cb. — [11] ἁγίου *add.* Ba. — [12] διδάξαι καὶ βαπτίσαι καὶ Cb. — [13] (προέγνω - καὶ) *om.* Cb. — [14] *om.* Cb. — [15] οὔσης Cb. — [16] ἐδίδαξαι Cb. — [17] πάντα *add.* Cb. — [18] παρήγγειλεν Cb. — [19] παρ' Cb. — [20] εἶτα εἶπε Cb. — [21] Βήρῳ *add.* Cb. — [22] τὰς *om.* Ba. — [23] κατέχοντας σκαφέας καὶ κοφίνους Cb. — [24] ὠρύξαι ὠρύγμα Cb. — [25] βαθύτατον Ba, Cb. — [26] *om.* Cb. — [27] ἀνεκλίνθην Ba. — [28] (τότε - εὗρον) καὶ ἐπεσκ πάσθη τὴν πλάκαν. Ἐλθόντες δὲ οἱ μαθηταὶ εἶπων τοῖς ἐν τῇ πόλει ὅτι ὁ διδάσκαλος ἡμῶν κεκοίμηται. Καὶ ἀπελθόντες τινὲς καὶ ἀνοίξαντες τὸν τάφον τὰ μὲν σανδάλια εὗρον, τὸ δὲ λείψανον οὐδαμῶς· μετεθῆκε γὰρ αὐτὸ ὁ Κύριος τρόπῳ ᾧ αὐτὸς ἐπίσταται.

Sept. 27. τοὺς τεσσαράκοντα ἐννέα ἐπὶ τῆς κολυμβήθρας, λύονται αὐτῶν τὰ δεσμά [6], ἃ περιέκειντο, καὶ φαιδραῖς ταῖς στολαῖς καὶ ταῖς ὄψεσιν εὐθὺς ἀνέρχονται ἀπὸ τοῦ ὕδατος. Ὡράθη δὲ καὶ ὁ ἅγιος Καλλίστρατος στέφανον ἐπὶ τῆς κεφαλῆς φορῶν εὐπρεπέστατον καὶ φωνὴ αὐτῷ [7] ἐξηκούσθη οὐρανόθεν λέγουσα· « Θάρσει, Καλλίστρατε, σὺν τῷ » ποιμνίῳ σου » καὶ « Δεῦτε ἤδη ταῖς αἰωνίαις [8] » σκηναῖς ἐπαναπαυσόμενοι [9] », ἅμα δὲ τῇ φωνῇ καὶ μέγα ὁ Θεὸς ἔσεισεν, ὥστε τὸ πλησίον ἄγαλμα καταπεσεῖν καὶ εἰς κόνιν διαλυθῆναι [10]. Τούτων οὕτω γενομένων, προσῆλθον τῷ Χριστῷ καὶ ἕτεροι τῶν στρατιωτῶν τριάκοντα καὶ πέντε πρὸς <τοῖς ἑκατὸν [11]> τὸν ἀριθμόν. Ὁ δὲ ἅγιος Καλλίστρατος καὶ οἱ σὺν αὐτῷ σαράκοντα ἐννέα ἐν τῇ φυλακῇ ἀπαχθέντες, ἐν αὐτῇ τὸ τοῦ μαρτυρίου τέλος ἐδέξαντο, ξίφεσι μεληδὸν κατακοπέντες [12].

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῆς ἁγίας μάρτυρος Ἐπιχάρεως [1], Γαϊανῆς καὶ τῆς συνοδίας αὐτῶν [2]. Αὕτη ὑπῆρχεν [3] ἐπὶ Διοκλητιανοῦ [4] ἐν τῇ Ῥωμαίων πόλει καὶ [5] διαβληθεῖσα τύπτεται καὶ ξέεται [6] σφοδρῶς ὑπὸ Καισαρίου [7] ὑπάρχου. Ἥτις διὰ μόνης προσευχῆς κατὰ τὸν [8] τόπον, ἐν ᾧ ἵστατο ἀθλοῦσα [9],
f. 39. ὕδωρ ἐκ πέτρας | ἐξήνεγκε καὶ πολλοὺς ἐκ τούτου προσήνεγκε τῷ Χριστῷ καὶ τῷ μαρτυρίῳ τῷ δι' αὐτόν· διὸ καὶ σφαίραις μολιβδίναις τυφθεῖσα, τὴν διὰ πυρὸς καὶ ξίφους [10] ὑπέστη τελευτήν. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ μαρτυρείῳ αὐτῶν τῷ ὄντι ἐν τῷ Γαϊανῷ [11].

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ὁσίων [1] πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων Νεκταρίου Κωνσταντινουπόλεως καὶ Φλαβιανοῦ Ἀντιοχείας.

4. Ἡ συνέδραμε καὶ ἡ τοῦ ὁσίου πατρὸς ἡμῶν μνήμη [1] Ἰγνατίου τοῦ γενομένου τετάρτου ἡγουμένου τῆς μονῆς τοῦ Σωτῆρος [2] τοῦ λεγομένου Βαθυρύακος [3]. Ὃς [4] ὑπῆρχεν ἐκ τῆς δευτέρας [5] τῶν Καππαδοκῶν ἐπαρχίας ἐπὶ βασιλέων Νικηφόρου [6] καὶ Ἰωάννου· ἐκ νηπίας δὲ ἡλικίας [7] ὑπὸ τῶν αὐτοῦ γονέων ἀνατεθεὶς [8] τῷ Θεῷ ὡς ἄλλος τις νέος Σαμουήλ, καὶ ὑπὸ τοῦ θείου Βασιλείου, τοῦ συστησαμένου τὴν μονήν, πᾶσαν τὴν μοναχικὴν ἀκρίβειαν παιδευθεὶς [9] καὶ διὰ πάντων [10] τῶν ἐκκλησιαστικῶν βαθμῶν διελθὼν χειροτονεῖται πρεσβύτερος. Τῶν δὲ πατέρων τῆς μονῆς ἐν Χριστῷ τελειωθέντων προχειρίζεται ἡγούμενος. Ὃς [11] τῇ τοῦ ἁγίου Πνεύματος κραταιούμενος χάριτι ηὔξησε καὶ ἐπλήθυνε τὴν μονὴν εἰς δύναμιν ἔν τε εἰσόδοις καὶ λοιποῖς αὐτῆς [12] βελτιώμασι· ᾠκοδόμησέ [13] τε [14] καὶ θείους ναοὺς τοῦ τε [15] Ταξιάρχου καὶ τοῦ θεόπτου Ἠλιοῦ, καὶ ἔν τινι προαστείῳ ἱερὸν σηκὸν [16] τῶν ἁγίων ἀποστόλων. Πεποίηκε δὲ καὶ ταῖς κανονικαῖς θριγκίον [17] ἀσφαλὲς πάνυ καὶ εὐπρεπέστατον· καὶ ἐν ταῖς ἡμέραις τῆς ἀποστασίας γενναίως κατηγωνίσατο τοὺς τότε ἄρχοντας [18], οὓς ὁ ἄνομος ἀντάρτης προεχειρίσατο, ὁ ἀθεώτατος Σκληρός [19], ὁ πᾶσαν τὴν οἰκουμένην διαταράξας, διατηρῶν τὴν αὐτῷ ἐκ τοῦ Θεοῦ ἐμπιστευθεῖσαν ποίμνην ἀσινῆ καὶ ἀτάραχον. Τοῦ δὲ ἀντάρτου ἐκποδὼν γενομένου, ἐπιθυμίαν θεάρεστον εἰσδέχεται τοῦ εἰσελθεῖν ἐν Κωνσταντινουπόλει καὶ κατασκευάσαι ἱερὰ κειμήλια τῇ ἁγίᾳ ἐκκλησίᾳ. Ὃς εἰσελθὼν [20] καὶ τὰ δόξαντα αὐτῷ εἰς ἔργον τῇ τοῦ Θεοῦ χάριτι προαγαγών [21], κατεσκεύασεν ἱερὰ σκεύη καὶ σίγνον τοῦ κυρίου ἡμῶν

— [6] ἐν αὐτῇ *add.* Sa. — [7] αὐτοῦ Sa. — [8] οὐρανίαις Sa. — [9] ἀναπαυσόμενοι Sa. — [10] διαληθῆναι S. — [11] στρατιωτῶν λε' πρὸς τοῖς ρ' Sa, λε' πρὸ τὸν ἀριθμὸν S. — [12] τελεῖται δὲ κτλ. *add.* Sa *inter* Synaxaria selecta.

2. — [1] ἀλλὰ καὶ ἡ μνήμη τῆς ἁγίας Ἐ. Sa. — [2] (Γαιανῆς - αὐτῶν) *om.* Fa. — [3] καὶ αὐτὴ Sa. — [4] βασιλέως *add.* Fa. — [5] καὶ *om.* Sa. — [6] καίεται Sa. — [7] Κεσαρίου Fa. — [8] τὸν *supra lin. corr.* Sa. — [9] (ἐν - ἀθλοῦσα) *om.* Fa. — [10] διὰ ξίφους καὶ πυρὸς Sa. — [11] τελεῖται κτλ. *om.* Fa.

3. — [1] ἁγίων Sa.

4. — [1] *om.* Sa. — [2] Χριστοῦ *add.* Sa. — [3] Βαθυρίακος S, Βαθέως ῥίακος Fa. — [4] οὗτος Fa. — [5] δευτέρης Sa. — [6] Νικιφώρου Fa. — [7] ὥστις ἐκ νιπίας ἡλικίας Fa. — [8] ἀνατίθεται Fa. — [9] πεδευθεὶς τὴν μοναχικὴν πᾶσαν ἀκρίβιαν Fa. — [10] πασῶν Fa. — [11] ὥστης Fa. — [12] αὐτοῖς S, αὐτοῦ Sa. — [13] (δύναμιν - ᾠκοδόμησε) δυναμὴν ἐν ται εἰσόδοις καὶ ἐξόδοις ὠκοδόμισεν Fa. — [14] ται S, Fa. — [15] ται Fa. — [16] ἔν τινι πρὸς ἱερὸν σικὸν Fa. — [17] θριγγίον Sa. — [18] ἀντηγωνήσατο τοῖς τώτοι ἄρχουσιν Fa. — [19] σκλιρὸς Fa. — [20] ὡς εἰσηλθὸν Fa. — [21] προσαγαγὼν Sa.

Sept. 27. Τῶν ἁγίων μαρτύρων Ῥιψιμίας καὶ Ἀριάδνης [1]. — 4. — **Fa** : 2 : Ἐπιχάρεως (contuli cum S). — 1 : Καλλιστράτου καὶ τῶν σὺν αὐτῷ μθ' μαρτύρων, οἵτινες ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν Ῥώμῃ. Κατασχεθέντες γὰρ πάντες, κατεσχέθη καὶ Καλλίστρατος παρὰ Περσεντίνου τοῦ στρατηλάτου· πολλαῖς τιμωρίαις ὑποστὰς καὶ ἐν τῷ βυθῷ ἀπορριφεὶς σάκκῳ [2] κατησφαλισμένος, παραδόξως ῥυσθεὶς προσηγάγετο τοὺς τεσσαράκοντα ἐννέα μάρτυρας [3] εἰς τὴν τοῦ Χριστοῦ πίστιν, πᾶσαν αὐτοῖς τὴν περὶ ἡμᾶς τοῦ Θεοῦ οἰκονομίαν ἐκθέμενος· μεθ' ὧν καὶ τὸ τέλος τοῦ μαρτυρίου ἐδέξατο ξίφει μετ' αὐτῶν ἀποτμηθείς. — Τῶν ἁγίων μαρτύρων Ῥιψιμίας καὶ Ἀριάδνης. — 3 : Τῶν ἁγίων πατέρων ἡμῶν καὶ ἀρχιεπισκόπων γενομένων Νεκταρίου καὶ Φλαβιανοῦ. — 4 : Τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰγνατίου (contuli cum S). — **Fb** : deest. — **B** : 2. 1. — **Ba** : 2. 1. — **Bb** : 2. 1. — **T** : 1. — **L** : 2. 1. — **O** : 1. — **G** : 2. — **C** : 2. 1. — **Cb** : 2. 1 : Καλλιστράτου καὶ τῆς συνοδίας αὐτοῦ. Καὶ οὗτοι οἱ ἅγιοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐν τῇ πόλει Ῥώμῃ. Κρατηθεὶς δὲ ὁ ἅγιος Καλλίστρατος παρὰ Περσεντίνου τοῦ στρατηλάτου καὶ τὸν Χριστὸν ὁμολογήσας Θεὸν εἶναι ἀληθινόν, τύπτεται ἰσχυρῶς· εἶτα τίθεται ἐπὶ κεκομμένῳ ὀστράκῳ καὶ σύρεται ἐπάνω αὐτοῦ. Καὶ μετὰ ταῦτα ἐμβάλλεται εἰς σάκκον καὶ ῥίπτεται εἰς τὴν θάλασσαν καὶ ἐξῆλθεν ἀβλαβής, σχισθέντος [4] τοῦ σάκκου. Ἰδόντες δὲ οἱ τεσσαράκοντα ἐννέα στρατιῶται τὸ γενόμενον, ἐπίστευσαν καὶ αὐτοὶ εἰς τὸν Χριστόν. Οὓς καὶ τύψας ὁ Περσεντῖνος ἐνέβαλε μετὰ τοῦ ἁγίου Καλλιστράτου εἰς τὴν φυλακὴν καὶ ἐδιδάσκοντο παρ' αὐτοῦ περὶ κρίσεως καὶ περὶ ἀναστάσεως καὶ περὶ ψυχικῆς σωτηρίας. Εἶτα ἐκβληθεὶς ὁ ἅγιος μετὰ τῶν μθ' στρατιωτῶν καὶ προσευξάμενος, ἔρριψε πάντα τὰ εἴδωλα. Καὶ ἐπίστευσαν ἕτεροι στρατιῶται ἑκατὸν τριάκοντα πέντε·

[1] Ἀρεάδνης F. — [2] σάκκα Fa. — [3] τοῖς τεσσαράκοντα ἐνέα μάρτυσιν Fa. — [4] σχεσθέντος Cb.

Ἰησοῦ Χριστοῦ καὶ σεπτὰς εἰκόνας καὶ περιηργυρωμένον εὐαγγέλιον καὶ ἄλλα τινὰ κατακοσμοῦντα πᾶσαν τὴν ἐκκλησίαν. Καὶ ταῦτα ποιήσας προ-
f. 39v. ἐπέμψε μετὰ τῶν συνόντων [22] αὐτῷ ἀδελφῶν | ἐν τῇ μονῇ, κἀκεῖνος ὑπελείφθη διά τινας χρείας ἐν τῇ πόλει. Χρονίζοντι δὲ ἐκεῖσε [23] συνέβη αὐτῷ δυσεντερικῇ νόσῳ περιπεσεῖν [24]· ὅστις μετὰ τοῦ συνόντος αὐτῷ [25] ἀδελφοῦ τῷ σεπτεμβρίῳ μηνὶ τῆς πόλεως ἀπάρας διήνυε [26] τὴν ἐπὶ τὴν αὐτοῦ μονὴν [27] ἄγουσαν ὁδόν. Φθάσας δὲ τὸ Ἀμόριον [28], τέλει τοῦ βίου ἐχρήσατο τῇ εἰκοστῇ ἑβδόμῃ τοῦ αὐτοῦ μηνὸς [29] καὶ προθάπτεται ἔν τινι σεβασμίῳ οἴκῳ τῆς [30] πόλεως. Ἐνιαυσιαίου δὲ χρόνου παρῳχηκότος, οἱ [31] τῆς μονῆς πατέρες, μὴ ἀμνημονήσαντες τῶν πάλαι αὐτοῦ ἀγώνων καὶ ἱδρώτων, ἠβουλήθησαν ἀνακομίσαι αὐτοῦ τὸ λείψανον. Οἳ καὶ παραγενόμενοι ἐν ᾧ κατέκειτο τόπῳ καὶ τὴν τούτου θήκην ἀνοίξαντες, εὗρον τὸ τίμιον αὐτοῦ σῶμα σῶον καὶ ἀκέραιον, θείαν εὐωδίαν πνέον· ὅπερ [32] μετὰ χαρᾶς ἀνελόμενοι ἀνεκόμισαν ἐν τῇ αὐτοῦ [33] μονῇ· καὶ ἰδόντες πάντες οὕτως ἀδιάλυτον καὶ ἀσινές [34], αἶνον ἔδωκαν τῷ Θεῷ, τῷ πρὸ τῆς κοινῆς ἀναστάσεως ἀφθαρσίᾳ τιμήσαντι τοὺς ἑαυτοῦ θεράποντας, καὶ κατέθηκαν αὐτὸ [35] ἐν τῷ νάρθηκι τῆς αὐτόθι [36] ἁγιωτάτης ἐκκλησίας τῷ εὐωνύμῳ μέρει, ἥτις ἐστὶν ἐπ' ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Sept. 27.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΗ'.

1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θεοφόρου Χαρίτωνος, καθηγητοῦ [1] τῆς ἐρήμου καὶ ὁμολογητοῦ. Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ [2] τοῦ βασιλέως ἐκ πόλεως Ἰκονίου τῆς Λυκαόνων [3] ἐπαρχίας· προσαχθεὶς δὲ τῷ ὑπατικῷ καὶ δυνάμει λόγων ἐλέγξας αὐτὸν καὶ παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσας, τανυσθεὶς [4] ἐκ τεσσάρων τύπτεται καὶ πυρὶ φλέγεται. Μετὰ δὲ τὴν καταστροφὴν Αὐρηλιανοῦ ἀπολυθεὶς τῆς φρουρᾶς καὶ ἐπὶ τὴν Ἠλιοῦ καὶ Ἰωάννου ἔρημον ἐπειγόμενος, ζηλωτὴς ὢν τῆς πολιτείας αὐτῶν, περιπίπτει λῃσταῖς καὶ δεσμευθεὶς παρ' αὐτῶν καὶ τεθεὶς ἐν φρουρᾷ λυτροῦται καὶ αὖθις τῆς χειρὸς [5] αὐτῶν, παραδοξοποιΐας τινὸς γενομένης. Εἰς γὰρ τὸ κεράμιον, ἐν ᾧ τὸν οἶνον εἶχον οἱ λῃσταί, ἔχις προσερπύσασα τὸν ἰὸν ἐξέχεεν· οὗ ἐμφορηθέντες οἱ λῃσταὶ [6] πάντες ἐξέψυξαν. Ὁ οὖν ἅγιος Χαρίτων αὐτό τε τὸ σπήλαιον εἰς ἐκκλησίαν κατέστησεν (ἔνθα νῦν ἐστι λαῦρα ἡ οὕτω | Φαρὰν λεγομένη [7]), καὶ ἐν ἑτέροις f. 40.
τόποις λαύρας δειμάμενος καὶ ἐν αὐταῖς πλήθη μοναχῶν συναγαγὼν καὶ πολλοῖς αἴτιος [8] ἀκριβοῦς γενόμενος πολιτείας καὶ παντοίων νόσων φανεὶς ἰατὴρ καὶ ἐξ ἀκροτόμου πέτρας ὕδωρ διαυγὲς ἐξενεγκών, ἐν βαθεῖ γήρᾳ τὸν βίον ἀπέλιπε. Sept. 28.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Καλυτηνῶν [1] Ἀλφειοῦ, <Ἀλεξάνδρου [2]>,

— [22] προέπεμψεν αὐτὰ μετῶν συνῶντων Fa. — [23] (ὑπελείφθη - ἐκεῖσε) ὑπελήφθει διά τινας χρίας ἐν τῇ πόλει χρονίζοντος δὲ αὐτοῦ ἐν Κωνσταντινουπόλει Fa. — [24] δυσεντεριακῇ νώσω περιπεσὶν Fa. — [25] αὐτοῦ Sa. — [26] διήνυσε Sa. — [27] μονὴν αὐτοῦ Fa. — [28] Ἀμμόριον Sa. — [29] σεπτεμβρίου μηνὸς Fa. — [30] αὐτῆς *add.* Sa, Fa. — [31] ἡ S. — [32] εὑρὼν τῶ σώμα αὐτοῦ θείαν εὐωδίαν πνέων καὶ ὧν σώον καὶ ἀκέραιον ὅνπερ Fa. — [33] αὐτὴ Sa. — [34] ἀσυνὴ Sa. — [35] αὐτὸν S. — [36] τῆς *add.* Fa.

1. — [1] καθηγουμένου Sa. — [2] Αὐριλιανοῦ Sa. — [3] Λυκαονίων Sa. — [4] τανυθεὶς Sa. — [5] τῶν χειρῶν Sa. — [6] (ἔχις - οἱ λῃσταὶ) *om.* Sa. — [7] λεγομένη Φαρὰν Sa. — [8] πολλῆς αἴτιος S, πολλῆς αἰτὴν Sa.

2. — [1] Καλυτινῶν S. — [2] Ἀλεξάνδρου Sa, *om.* S.

εἶτα λαβόντες τὴν διὰ ξίφους ἀπόφασιν, ἅπαντες ἀπεκεφαλίσθησαν, καὶ μετ' αὐτῶν ὁ ἅγιος Μαρῖνος ἀνὴρ μέγας καὶ σοφός. — **M** : 2. 1 (Καλλιστράτου καὶ ἑκατὸν ἑβδομήκοντα ἐννέα μαρτύρων). — Εἰς τοὺς ἁγίους τεσσαράκοντα ἐννέα μάρτυρας. — 4. — Τῶν ἁγίων ἀποστόλων Μάρκου, Ἀριστάρχου καὶ Ζήνωνος. — Των ἁγίων μαρτύρων Φιλήμονος ἐπισκόπου καὶ Φουρτουνιανοῦ καὶ τῆς ἁγίας μάρτυρος Γαϊανῆς. — Των ἁγίων μαρτύρων πεντεκαίδεκα, οἳ ἐν πλοίῳ ἐμβληθέντες [5] καὶ τῷ πλοίῳ τρυπηθέντι ἐν τῇ θαλάσσῃ ἐναπεπνίγησαν. — **Mv** : 2. 1. — Εις τοὺς ἁγίους τεσσαράκοντα ἐννέα μάρτυρας. — 4. — Μάρκου, Ἀριστάρχου καὶ Ζήνωνος. — Φιλήμονος καὶ Φουρτουνιανοῦ καὶ Γαϊανῆς. — Τῶν ἁγίων δεκαπέντε μαρτύρων. — **Mr** : 1. Sept. 27.

SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. — **H** : 2. 3 (Εὐσταθίου Ῥωμαίου καὶ τῆς συνοδίας αὐτοῦ). — **P** : 2. 1. 3. — **F** : 1. 2. 3 : Καλλινίκου καὶ Εὐσταθείου Ῥωμαίων καὶ τῆς συνοδίας αὐτῶν ἐν τῷ Προμούντων. — **Fa** : 1. 2. 3. — **Fb** : 1. 2. 3. — **B** : 1. 2. — **Ba** : 1. 2 : Τῶν Καλυτηνῶν Ἀλεξάνδρου, Ζωσίμου, Νίκωνος, Νέωνος, Ἡλιοδώρου καὶ Μάρκου. Οἳ ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν πόλει Ἀντιοχείας, Μάγνου ἡγεμονεύοντος. Ὁ δὲ Μάρκος ἦν ποιμαίνων τὰ πρόβατα, λευκὴν ἔχων τὴν κεφαλὴν καὶ βαθεῖαν κόμην [1] μέχρι πτέρνης αὐτοῦ. Ἐπεὶ δὲ διεγνώσθη ὡς εἴη χριστιανός, παραχρῆμα κρεμασθεὶς ἐξέσθη καὶ παρεπέμφθη ἐν Κλαυδιουπόλει. Προσκληθέντων δὲ τῶν χαλκοτύπων ἕνεκεν των Μάρκου δεσμῶν, προσήχθησαν τρεῖς ἀδελφοὶ Ἀδελφιός [2], Ἀλέξανδρος καὶ Ζώσιμος, τὴν Κάλυτον οἰκοῦντες κώμην, βάναυσοι [3] τὴν τέχνην [4] καὶ τῆς τοῦ σιδήρου ἐργασίας ἐπιστήμονες. Ἀρξαμένων δὲ πονεῖν, κατέρρει ὁ σίδηρος ὡς ὕδωρ καὶ αἱ χεῖρες αὐτῶν ἐνάρκων· οἱ δὲ τὸ συμβὰν θαυμάζοντες θείας ἐπακούουσι φωνῆς προτρεπούσης συναθλῆσαι αὐτοὺς τῷ Μάρκῳ. Καὶ ἐπεὶ χριστιανοὺς ἑαυτοὺς ὡμολόγησαν, στρέβλαις εὐθὺς ὑποβάλλονται καὶ διὰ χοάνης [5] περιτεθείσης αὐτῶν τῷ στόματι μόλυβδον λυθέντα πυρὶ δέχονται. Καὶ πέτρα προσηλωθέντες πυρὶ καταφλέγονται καὶ τοῦ βίου τὸ τέλος λαμβάνουσιν. Ὁ δὲ Μάρκος ὑποδεθεὶς κρηπῖδας σιδηρᾶς καὶ μαστιχθεὶς ἱκανῶς Sept. 28.

— [5] *correxi*, ὧν ... ἐμβληθέντων M.

[1] *om.* Ba. — [2] ἀδελφός Ba. *corr. recens* ἀδελφειός. — [3] βάσαυσοι Ba. — [4] *corr. recens.* εὔχην Ba. — [5] χωριάνης Ba.

Sept. 28. Ζωσίμου, Νίκωνος, Νέωνος, Ἡλιοδώρου καὶ Μάρκου. Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐν πόλει Ἀντιοχείᾳ τῆς Πισιδίας [3], Μάγνου ἡγεμονεύοντος. Ὁ δὲ Μάρκος ἦν ποιμαίνων πρόβατα, λευκὴν ἔχων τὴν κόμην τῆς κεφαλῆς καὶ βαθεῖαν μέχρι τῆς πτέρνης αὐτῆς. Ἐπεὶ δὲ διεγνώσθη ὡς εἴη χριστιανός, προδοθεὶς παρὰ τῶν ἐν τῷ ὄρει ἀνιόντων [4], παραχρῆμα [5] κρεμασθεὶς ξέεται [6] καὶ παραπέμπεται ἐν Κλαυδιουπόλει· προσκληθέντων δὲ χαλκοτύπων κατασκευῆς ἕνεκεν τῶν Μάρκου δεσμῶν, προσήχθησαν τρεῖς ἀδελφοὶ Ἀλφειός, Ἀλέξανδρος καὶ Ζώσιμος τὴν Κάλυτον οἰκοῦντες κώμην, βάναυσοι τὴν τέχνην καὶ τῆς [7] σιδήρου ἐργασίας ἐπιστήμονες· ἀρξαμένων δὲ τύπτειν, κατέρρει ὁ σίδηρος ὡς ὕδωρ καὶ αἱ χεῖρες αὐτῶν ἐνάρκων. Οἱ δὲ τὸ συμβὰν θαυμάσαντες καὶ φωνῆς θείας ἐπακούσαντες προτρεπούσης συναθλῆσαι αὐτοὺς τῷ Μάρκῳ, οὐκ ἐμέλησαν [8], ἀλλ' εὐθέως τὸ ὄνομα τοῦ Χριστοῦ ἐπικαλεσάμενοι καὶ τὸν σίδηρον ἀπορρίψαντες συνελήφθησαν καὶ στρέβλαις [9] ὑπεβλήθησαν καὶ διὰ χώνης περιτεθείσης αὐτῶν τῷ στόματι μόλιβδον ἐδέξαντο ζέοντα· καὶ ἐν πέτρᾳ προσηλώθησαν καὶ τῷ πυρὶ ὑπεβλήθησαν καὶ τοῦ βίου ἐξῆλθον [10]. Ὁ δὲ Μάρκος ὑποδεθεὶς κρηπῖδας σιδηρᾶς καὶ μαστιχθεὶς ἱκανῶς καὶ ὀβελίσκοις καταπαρεὶς καὶ τὴν γλῶσσαν τμηθεὶς καὶ ἐν πέτρᾳ καθηλωθείς, τὴν κεφαλὴν ἀπετμήθη. Νίκων δὲ καὶ Νέων καὶ Ἡλιόδωρος μετὰ νηπίων καὶ παρθένων ἐν τῷ λεγομένῳ Φιλομηλίῳ [11] ὑπὸ τοῦ ξίφους ἐτελειώθησαν. Τὸ δὲ τέλος τῶν τριῶν ἀδελφῶν γέγονεν ἐν Καλύτῳ μηνὶ σεπτεμβρίῳ κη', τοῦ δὲ Μάρκου ἐν Κλαυδιουπόλει εἰκοστῇ πρώτῃ τοῦ αὐτοῦ [12], τῶν δὲ [13] λοιπῶν ἐν τῷ Φιλομηλίῳ [11] ἰουλίου δεκάτῃ τρίτῃ [14]. Τελεῖται | δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ σεπτῷ αὐτῶν μαρτυρείῳ, τῷ ὄντι πλησίον τοῦ ἁγίου μάρτυρος Κυπριανοῦ ἐν τοῖς Σολομῶνος. f. 40v.

3. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐσταθίου Ῥωμαίου [1], Καλλινίκου καὶ τῆς συνοδίας αὐτῶν· ἡ δὲ [2] σύναξις αὐτῶν ἐν τοῖς Προμότου.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΘ'.

Sept. 29. 1. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κυριακοῦ τοῦ ἀναχωρητοῦ τῆς λαύρας τοῦ Σουκᾶ. Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου [1] τοῦ μικροῦ [2] ἐκ πόλεως Κορίνθου [3], πατρὸς Ἰωάννου πρεσβυτέρου τῆς τῶν Κορινθίων ἐκκλησίας καὶ μητρὸς Εὐδοξίας, ἀνεψιὸς Πέτρου τοῦ πρὸς μητρὸς [4] μὲν θείου, ἐπισκόπου δὲ τῆς τῶν προειρημένων ἐκκλησίας, ἀναγνώστης τὴν τάξιν· ὀκτωκαιδέκατον δὲ ἔτος τῆς ἡλικίας ἀνύων εἰς τὰ Ἱεροσόλυμα παραγίνεται καὶ τὸ τῶν μοναχῶν λαμβάνει σχῆμα παρὰ τοῦ μεγάλου Εὐθυμίου· πολλὴν δὲ ἐπιδειξάμενος ἄσκησιν καὶ διὰ σκληροτάτης ἀγωγῆς τὸν βίον διενεγ-

— [3] Πισσιδίας Sa. — [4] καὶ λέοντα καὶ ἄρκτον ἑωρακότα παρὰ τοὺς πόδας αὐτοῦ κειμένους *add.* Sa. — [5] παραυτίκα Sa. — [6] Ξέεται κρεμασθεὶς Sa. — [7] τοῖς S, τῆς τοῦ Sa. — [8] ἐμέλησαν S, ἠμέλησαν Sa. — [9] στρέβλας Sa. — [10] (καὶ τῷ - ἐξῆλθον) *om.* Sa. — [11] Φιλομιλίῳ S, Sa. — [12] μηνὸς *add.* Sa, — [13] δὲ *om.* Sa. — [14] δεκατρεῖς S, ιγ' Sa.

3. — [1] *forte legendum* Ῥωμύλου. *Cf.* Synaxaria selecta C. — [2] τελεῖται δὲ ἡ Sa.

1. — [1] Θεοδωσίου S. — [2] μεγάλου S, μικροῦ Sa, Θεοδοσίου τοῦ νέου Cyrillus Scythopolit. *in Vita S. Cyriaci*, Act. SS., *Sept. t. VIII, p. 147.* — [3] Κορύνθου S. — [4] πατρὸς Sa, γέγονεν δὲ ἀνεψιὸς ἐκ μητρὸς Πέτρου Cyrillus Scythopolitanus, *loc. cit.*

Sept. 28. καὶ ὀβελίσκοις καταπαρεὶς καὶ τὴν γλῶσσαν τμηθεὶς καὶ ἐν πέτρᾳ καθηλωθεὶς τὴν κεφαλὴν ἀπετμήθη. Νίκων δὲ καὶ Νέων καὶ Ἡλιόδωρος μετὰ νηπίων καὶ παρθένων ἐν τῷ Φιλομιλίῳ ὑπὸ τοῦ ξίφους ἐτελειώθησαν. — **Bb** : 1. 2. — **T** : 1. — **L** : 2. 1. — **O** : 1. — **G** : 1. — **C** : 1. 2. 3 : Εὐσταθίου, Ῥωμύλου καὶ τῆς συνοδίας αὐτῶν. — **Cb** : 1. 2. 3. — **M** : 1. — Βαρούχ τοῦ προφήτου. Ἡ τῶν προφητῶν ἀκριβὴς διόπτρα, ἡ τοῦ Ἱερεμίου πνοὴ καὶ ἀνάπαυλα, ἐφεπόμενος ἦν τῷ Ἱερεμίᾳ διδασκάλῳ, ὅτε ὡς αἰχμάλωτος οὗτος εἰς Βαβυλῶνα ἠγάγετο, θρηνῶν τὴν ἀνάλωσιν τῆς Ἱερουσαλήμ, ἑβδομήκοντα χρόνους ἐπεκτεινομένης τῆς αἰχμαλωσίας. Οὗτος ὁ Βαρούχ τῷ διδασκάλῳ συνὼν ὡς αἰχμάλωτος, σπηλαίῳ ἑαυτὸν ἐγκαθείρξας τὸν ἐπιξενισμὸν ἐθρήνει Ἱερεμίου, ἀπρονόητον ἑαυτὸν συντηρῶν μέχρις ἀναστροφῆς τοῦ λαοῦ. Ὅτε δὲ ὁ λαὸς πρὸς Ἱερουσαλὴμ ἐπανῆκε, Βαρούχ ἐξελθὼν τοῦ σπηλαίου πάλιν τὰ ὑπὸ τοῦ Ἱερεμίου ἐν ἐκστάσει καθωραθέντα, ὅτε καὶ τοῖς λίθοις ἐβάλλετο σὺν τῷ Ἀβιμέλεχ, ἀκούει καὶ ὡς ἐν δυσὶ σώμασι μία ψυχὴ ἐν ἀμφοτέροις ἐγνωρίζετο τοῖς προφήταις ἐπεὶ καὶ εἰς ἕνα ταξίαρχον τὸ θεῖον Πνεῦμα ἀμφοτέρους ἐπέγραφε. Τρανοτέρως γὰρ καὶ ὁ Βαρούχ τὰ περὶ τῆς Χριστοῦ οἰκονομίας ἀνεκελάδησε λέγων· « Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν » καὶ τὰ ἑξῆς. Εὕροι δ' ἄν τις καὶ πλείονα τῶν φιλοπόνως τὰς προφητικὰς βίβλους ἐπανακρινόντων τὸν προφήτην Βαρούχ, τὰ περὶ τοῦ Χριστοῦ καὶ τῆς Ἱερουσαλὴμ προαγγέλλοντα. Τὸν γοῦν Ἱερεμίαν ἐπιμελῶς κηδεύσας μετὰ τὴν πρὸς Κύριον τούτου μετάστασιν, μετ' οὐ πολὺ καὶ αὐτὸς πρὸς Κύριον ἐξεδήμησεν. — 2 (τῶν ἁγίων μαρτύρων καὶ αὐταδέλφων Ἀλεξάνδρου, Ἀλφειοῦ καὶ Ζωσίμου καὶ τοῦ ἁγίου μάρτυρος Νίκωνος, Νέωνος, Ἡλιοδώρου καὶ τῶν λοιπῶν παρθένων...). — 3 : Καλλινίκου καὶ Εὐσταθίου τοῦ Ῥωμαίου. — Τοῦ ἁγίου μάρτυρος Ἀλεξάνδρου καὶ τῶν σὺν αὐτῷ τριάκοντα μαρτύρων. — **Mv** : 1. — Βαρούχ. — 2. 3 (... Εὐσταθίου τοῦ Ῥωμαίου). — Ἀλεξάνδρου κτλ. — **Mr** : 1.

Sept. 29. SYNAXARIA SELECTA. **Sa** : 1. 2. 3. 4. 5. — **H** : 1. 4. 5. 3. — **P** : 1. 4. 3. — **F** : 1. 2. 5. 3. — **Fa** : 1. 2. 5. 3. — **Fb** : 1. 2. 5. 3. — **B** : 1. — **Ba** : 1. 2. — **Bb** : 1. 2 (= S). — **T** : deest. — **L** : 1. 4. 5. — **O** : 1. — **G** : 1. — **C** : 1. 2. 4. 5. 3. — **Cb** : 1. 2 : Δάδα καὶ Γοβδελλαᾶ καὶ Κασδόας. Οὗτος ὁ ἅγιος μάρτυς Δάδας ὑπῆρχε συγγενὴς Σαβωρίου βασιλέως Περσῶν, ὁ δὲ Γοβδελλαᾶ υἱὸς γνήσιος αὐτοῦ. Καὶ διὰ τὸ γενέσθαι αὐτοὺς χριστιανοὺς καὶ προσελθεῖν τῷ Χριστῷ οὐ μόνον ἠρνήθησαν παρὰ τοῦ Σαβω-

κῶν καὶ τοὺς τὰ Ὠριγένους φρονοῦντας ἐλέγξας, πολλὰ [5] θαύματα τῇ συνεργείᾳ τοῦ Χριστοῦ ἐκτελέσας, ἐν βαθυτάτῳ γήρᾳ τὸν βίον ἀμείβει. Ἦν δὲ πρᾶος, εὐπρόσιτος καὶ ἐκ θείας ἀποκαλύψεως περὶ τῶν μελλόντων προλέγων, μέγεθος ἔχων σώματος μετὰ καί τινος εὐπρεπείας καὶ χάριτος, σῶα πάντα τὰ τοῦ σώματος μέρη φυλάττων, μὴ μετασχόντα τῆς ἀπὸ τοῦ χρόνου φθορᾶς, ἐπί τινας χρόνους καθηγησάμενος τῆς λαύρας τοῦ ἁγίου Χαρίτωνος.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Δάδα καὶ Γοβδελαᾶ καὶ Κασδόας [1]. Ὧν ὁ μὲν συγγενής, ὁ δὲ υἱὸς γνήσιος ἦν [2] βασιλέως Περσῶν. Οὗτοι μὴ θελήσαντες προσκυνῆσαι τῷ παρ' αὐτῶν σεβομένῳ πυρί, ἀλλὰ τῇ τοῦ Χριστοῦ πίστει ἐπερειδόμενοι, πρῶτον μὲν ὁ Δάδας ξίφει τὸ σῶμα μεληδὸν κατεκόπη καὶ οὕτως παρέδωκε τὸ πνεῦμα. Ὁ δὲ Γοβδελαᾶς, ὁ καὶ υἱὸς τοῦ βασιλέως, ῥάβδοις ῥοΐναις ὑπὸ τοῦ ἄρχοντος Γαργάμου [3] τύπτεται καὶ εἰς τὰς ἀκοὰς αὐτοῦ σίδηρον πεπυρακτωμένον εἰσδέχεται καὶ κατὰ τῶν πλευρῶν <ὀβελίσκους· μετὰ ταῦτα τῶν πλευρῶν [4]> ἀποσπᾶται καὶ ἐπὶ σταυροῦ ἀναρτᾶται ξεόμενος· εἶτα τὴν κεφαλὴν ἀποδαρεὶς καὶ ἥλοις τὰς χεῖρας προσηλω|θεὶς καὶ ὅλον τὸ σῶμα καλάμοις περιπαρείς, οὕτως τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται. Ὡσαύτως καὶ Κασδόα ἡ τούτου ἀδελφὴ τῇ πίστει προστεθεῖσα καὶ ῥάβδοις ῥοΐναις τυφθεῖσα, ἐν αὐταῖς ταῖς βασάνοις τὸ πνεῦμα παρέδωκεν. Sept. 29. f. 41.

3. Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας ὁσιομάρτυρος Ἀναστασίας τῆς ἀσκητρίας καὶ Πετρωνίας μάρτυρος.

4. Καὶ τῶν ἁγίων πεντήκοντα μαρτύρων τῶν ἐκ Παλαιστίνης.

5. Καὶ ἄθλησις τῶν ἁγίων μαρτύρων Τρύφωνος καὶ Τροφίμου καὶ Δορυμέδοντος, ὧν ἡ σύναξις τελεῖται πλησίον τῆς ἁγίας Ἄννης ἐν τῷ Δευτέρῳ.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ Λ'.

1. Ἄθλησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἐπισκόπου γενομένου τῆς μεγάλης Ἀρμενίας, καὶ Γαϊανῆς καὶ Ῥιψιμίας καὶ τῶν σὺν αὐταῖς. Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως υἱὸς Ἀνάκ, συγγενοῦς Κουσαρῶ [1] βασιλέως Ἀρμενίας, ἀδελφοῦ Ἀρταβάνου βασιλέως Πάρθων· ἤθλησε δὲ ἐπὶ Τηριδάτου, καταστάντος εἰς βασιλέα τῆς τῶν Ἀρμενίων ἀρχῆς παρὰ Διοκλητιανοῦ βασιλέως Ῥωμαίων· συνὼν γὰρ τῷ Τηριδάτῃ [2], ἐπεὶ [3] τοῖς εἰδώλοις οὐκ ἔνειμε σέβας, ἀλλὰ τὰ τῶν χριστιανῶν ὡμολόγει καὶ Θεὸν εἶναι τὸν Χριστὸν ἐκήρυττε τοὺς τῆς οἰκονομίας αὐτοῦ λόγους διεξιών, πρῶτον μὲν ὑπὸ Τηριδάτου εἰς τοὐπίσω τὰς χεῖρας δεσμεῖται καὶ βάρει ἄλατος βαρύνεται τὰ μετάφρενα καὶ ἀναρτᾶται ἐφ' ὑψηλοῦ ἐπὶ ἡμέρας ἑπτά, θυλάκῳ τὴν κεφαλὴν ἐμβληθείς, ὃς ἦν μεστὸς καμινιαίας αἰθάλης· καὶ κατενεχθεὶς ἐπεὶ [4] τῆς ἐνστάσεως οὐχ ὑφεῖτο, αὖθις ἐξ ἑνὸς ποδὸς ἀναρτᾶται, ὑποκαπνιζομένης αὐτῷ κόπρου δυσώδους, καὶ ῥάβδοις σκληραῖς ἐφ' ἱκανὸν τύπτε- Sept. 30

— [5] καὶ πολλὰ Sa.

2. — [1] Κασδοάς, Κασδόας S, Sa, Κασδίας *Passio SS. Dada, etc.*, *in* Act. SS., *Sept. t. VIII, p. 128.* — [2] Σαβωρίου *add.* Sa. — [3] Γαργάμου S, Sa, Γαργάλου *Passio, l. c., p. 129 sqq.* — [4] (ὀβελίσκους - πλευρῶν) Sa, *om.* S.

1. — [1] Κουσαρῶ Sa, Κουσάρω *scribit* P. de Lagarde, Agathangelus, *in* Abhandlungen der k. Gesellschaft der Wissenschaften zu Göttingen, *t. XXXV (1888), p. 9 et deinceps.* — [2] Τηριδάτι S. — [3] Sa, ἐπὶ S. — [4] ἐπὶ S.

ρίου καὶ ἐμισήθησαν καὶ τῶν ἀξιωμάτων αὐτῶν ἀφῃρέθησαν, ἀλλὰ καὶ τιμωρίαις πολλαῖς ὑπεβλήθησαν, σὺν τῇ ἁγίᾳ Κασδόᾳ κρεμασθέντες καὶ ξεσθέντες καὶ μετὰ πυρὸς τὰς πλευρὰς ὑποκαέντες· καὶ μετὰ ταῦτα εἰς φυλακὴν ἐνεβλήθησαν ποιήσαντες χρόνους πολλούς. Εἶτα ἐκβληθέντες καὶ καταναγκασθέντες προσκυνῆσαι τῷ ἡλίῳ καὶ τῷ πυρὶ καὶ μὴ πεισθέντες, ἀλλὰ μετὰ παρρησίας ἐλέγξαντες [1] τὴν τῶν Περσῶν πλάνην, τὸν δὲ Χριστὸν κηρύξαντες Θεὸν μόνον ἀληθινὸν καὶ βασιλέα τοῦ παντὸς καὶ τῆς κτίσεως ποιητήν, ξίφει κατακοπέντες ἐτελεύτησαν. — 4. — iterum καὶ τῆς ἁγίας Γοβδέλλας. — 5. — **M** : 1. — Μνήμη των ἁγίων μαρτύρων τῶν ἐν τῷ [2] Βυζαντίῳ. Βασιλεύοντος Οὐάλεντος ἐν τῷ Βυζαντίῳ τοῦ Ἀριανοῦ [3] ὡς παρατραπέντος τῆς εὐθείας ὁδοῦ, σκάφος εὐσεβῶν καὶ ὀρθοδόξων πρεσβυτέρων ἐμπλήσαντες οἱ τῆς ἀνοσίου αὐτοῦ συμμορίας ἀφῆκαν ἀνερμάτιστον εἰς τὸ τῆς θαλάσσης πέλαγος. Εἶτά τινας τῶν ὁμογνωμόνων εἰς πορθμεῖον ἕτερον ἐμβιβάσαντες, πῦρ ἐπαφεῖναι [4] τῇ σκάφῃ τῶν ἱερέων ἐκέλευσαν. Τούτου δὲ γενομένου, πυρὶ καὶ ὕδατι μαχόμενοι οἱ ἅγιοι τῷ βυθῷ παρεπέμφθησαν. — 4 (τῶν ἁγίων ρν' μαρτύρων). — 5. 3 (Πετρωνίας tantum). — Εἰς τὸν ἅγιον μάρτυρα Γουδελίαν. — Κασδίου καὶ Κασδίας. — 2. — **Mv** : 1. — μαρτύρων τῶν ἐν Βυζαντίῳ. — 4 (ρν' μαρτύρων). — 5. 3 (Πετρωνίας tantum). — Γουδελίας. — Κασδόου καὶ Κασδόας. — 2. — **Mr** : 1. Sept. 29.

SYNAXARIA SELECTA. **Sa** : 1. add. : νῦν δὲ τελεῖται ἡ αὐτοῦ μνήμη ἐν τῷ ναῷ τοῦ ἁγίου Ἀβερκίου τῷ ὄντι ἐν τῷ πατριαρχείῳ, ἔνθα καὶ ἡ ἁγία κάρα αὐτοῦ ἀπόκειται. — 2. — **H** : 1 (Γρηγορίου solius). — 2 (om. Στρατονίκου, Γλυκερίου, Θεοφίλου). — **P** : 1 : Γρηγορίου ἀρχιεπισκόπου τῆς μεγάλης Ἀρμενίας καὶ Γαϊανῆς καὶ Ῥιψιμίας καὶ τῶν σὺν αὐταῖς, ἐπὶ Διοκλητιανοῦ βασιλέως κρατοῦντος τῆς Ῥωμαίων ἀρχῆς καὶ βασιλεύοντος τῶν Παρθῶν Ἀρταβάνου τοῦ υἱοῦ Ἀσσοῦρ, ἀδελφοῦ ὑπάρχοντος Κουσαρῶ βασιλέως Ἀρμενίας. Δολοφονεῖται καὶ ἀποκτείνεται ὁ αὐτὸς Ἀρτάβανος, ἀδελφὸς Κουσαρῶ βασιλέως Ἀρμενίας, παρὰ Ἀρτασὴρ υἱοῦ Σασᾶν βασιλέως Περσῶν, σατράπου πρότερον ὑπάρχοντος τοῦ Ἀρτασὴρ τῆς τῶν Παρθῶν ἐπαρχίας, βουλῇ δὲ καὶ συνέσει τῶν ἐν Περσίδι στρατοπε- Sept. 30.

[1] ἐλλέγξαντες Cb — [2] τῷ *om.* Mv. — [3] Ἀρειανοῦ Mv. — [4] ἐπαφθῆναι Mv.

Sept. 30. ται· καὶ ἐπὶ ἑτέρας ἑπτὰ ἡμέρας μένει τῇ ἀναρτήσει καὶ αὖθις κατενεχθεὶς κνημῖσι[5] σιδηραῖς τὰ γόνατα ἐξαρθροῦται, παχείας σφηνὸς αὐτοῖς ἐμπαγείσης· καὶ ἐπὶ δυσὶν ἡμέραις μετεωρίζεται καὶ πάλιν κατενεχθεὶς μόλιβδον λελυμένην διὰ τῆς ἕδρας ἐπιχέεται τοῖς ἐγκάτοις· εἶτα μηνυθείς, ὅτι αὐτὸς εἴη Ἀνὰκ τοῦ Πάρθου υἱός, τοῦ τὸν πατέρα Τηριδάτου[6] δολοφονήσαντος, δεσμεῖται χεῖρας καὶ πόδας καὶ τὸν αὐχένα καὶ ἐν Ἀραρὰτ τῇ πατρίδι ἐν βαράθρῳ τινὶ μεστῷ ὄντι ἑρπετῶν ἰοβόλων ῥίπτεται· ἔνθα κατέμεινεν ἔτη δεκαπέντε ἑρπετοῖς
f. 41v. καὶ θηρίοις | συνών, παρὰ χήρας τινὸς[7] τρεφόμενος λαθραίως αὐτῷ ἄρτον ἐπιρριπτούσης. Τῆς δὲ Ῥιψιμίας καὶ Γαϊανῆς μοναζουσῶν καὶ παρθένων οὐσῶν καὶ τῆς μὲν[8] Γαϊανῆς πρεσβυτέρας οὔσης καὶ πρὸς εὐσέβειαν ἀφηγουμένης, τῆς δὲ Ῥιψιμίας νεωτέρας καὶ γένους ἐπισήμου καὶ κάλλει διαπρεπούσης[9], ἔκ τινων συμβάντων τὰ περὶ αὐτῆς ὁ Τηριδάτης πυθόμενος ἤρα ταύτης σφοδρῶς καὶ συλλαβόμενος αὐτὴν καὶ πειθοῖ καὶ βίᾳ πρὸς τὴν ἀθέμιτον ἐκκαλούμενος μῖξιν, τῆς τοῦ Χριστοῦ ἰσχύος συνεργούσης αὐτῇ, οὐ περιεγένετο ταύτης· καὶ δὶς προσβαλὼν ἀπεκρούσθη, τῆς φυσικῆς ῥώμης καὶ δυνάμεως ἐκλυθείς[10]. Ἀλλ' ἐκεῖνος μὲν ἀποτυχὼν τοῦ σκοποῦ ὡσεὶ νεκρὸς ἔκειτο· ταύτην δὲ οἱ τοῦ βασιλέως ὑπασπισταὶ ἐκφυγοῦσαν ἐπιδιώξαντες καὶ καταλαβόντες, πρῶτον μὲν διέρρηξαν αὐτῆς τὰ ἱμάτια, ἔπειτα δὲ εἰς τοὐπίσω τὰς χεῖρας προσδήσαντες τὴν γλῶτταν ἀπέτεμον καὶ πυρὸς ἐσχάραις[11] ἅπαν τὸ σῶμα κατέκαυσαν[12], προσηλώσαντες κατὰ τῶν ἐγκάτων αὐτῆς λίθους ὀξεῖς καὶ διατεμόντες τὰ σπλάγχνα αὐτῆς καὶ πρὸς τούτοις τοὺς ὀφθαλμοὺς ἐξορύξαντες· καὶ κατὰ βραχὺ τοῖς ξίφεσι διελόντες αὐτὴν τῷ θανάτῳ παρέπεμψαν[13]. Συνανῃρέθησαν δὲ αὐτῇ[14] τμηθέντες τὰς κεφαλὰς ἄνδρες χριστιανοὶ ἑβδομήκοντα καὶ γυναῖκες δύο καὶ τριάκοντα. Ἡ δὲ ἁγία Γαϊανὴ σὺν ταῖς λοιπαῖς διεπάρη[15] τὸν αὐχένα καὶ ἐφυσήθη ὥσπερ ἀσκὸς καὶ τὴν δορὰν τῆς σαρκὸς μέχρι[16] καὶ τῶν μασθῶν ἀφῃρέθη καὶ λίθοις συνετρίβη καὶ οὕτως ἐτμήθη τὴν κεφαλήν, τὰ αὐτὰ καὶ τῶν λοιπῶν γυναικῶν πεπονθυιῶν. Ὁ οὖν βασιλεὺς ἡττηθεὶς ἅμα τῆς τε[17] ὥρας καὶ ἀνδρίας τῆς ἁγίας Ῥιψιμίας καὶ εἰς ἐσχάτην ἀθυμίαν πεσών, ἐλήφθη δαίμονι πονηρῷ καὶ τῶν φρενῶν ἐκστὰς ἐλυμαίνετο τὰς σάρκας αὐτοῦ διεσθίων καὶ τὴν μορφὴν ἐπὶ τὸ θηριῶδες ἤλλαξε καὶ μετὰ τῶν συῶν τὴν δίαιταν εἶχεν ἐν ἐλώδεσι τόποις καὶ ὑδρηλοῖς, πολλῶν[18] αὐτῷ συμμανέντων, οἳ ἦσαν ὑπασπισταὶ τούτου καὶ τῆς χώρας ἄρχοντες, τὴν
f. 42. κτηνώδη ἀλλαξάμενοι | δίαιταν[19] καὶ κατάστασιν. Ἀνάγεται οὖν ὁ ἅγιος Γρηγόριος τῷ πεντεκαιδεκάτῳ ἔτει[20] ἐκ τοῦ λάκκου, ἐν ᾧ καθεῖρκτο· τοῦτο γὰρ ὄναρ ἐπεφάνη Κουσαροδούκτᾳ[21] τῇ τοῦ βασιλέως ἀδελφῇ, μὴ ἂν ἄλλως γενέσθαι τῷ Τηριδάτῃ[22] τὴν ἴασιν, ἢ δι' ἐντεύξεως τοῦ μεγάλου Γρηγορίου· καὶ προσάγεται ἔκφρων καὶ μεμηνὼς ὁ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἐν σχήματι θηρίων καὶ

— [5] κνημέσι Sa. — [6] Τηριδάτην S. — [7] παρὰ γυναικὸς τινὸς χήρας Sa. — [8] καὶ *add.* Sa. — [9] διαπρεπούσης Sa, διαπρεποῦς S. — [10] αὐτοῦ ἐκλυθείσης Sa. — [11] ἐσχάρας S. — [12] κατέκαμψαν Sa. — [13] παρέδωκαν Sa. — [14] αὐτὴν Sa. — [15] διεσπάρη S, Sa. — [16] μέχρι *supra lin.* S. — [17] τῆς τῆς Sa. — [18] καὶ ἄλλων *add.* Sa. — [19] τε *add.* Sa. — [20] τοῦ *add.* Sa. — [21] Κονσαροδούκτα Sa, Καισαροδούκτα S. *Cf.* P. de Lagarde, *l. c., p. 145.* — [22] Τηριδάτι S.

Sept. 30. δάρχων, ἑλομένων ἐπ' αὐτοὺς βασιλεύσειν αὐτόν. — 2 : Μαρδόνου, Μιγδονίου, Δωροθέου καὶ Ἤνδου καὶ Στρατονίκου καὶ τῶν σὺν αὐτοῖς ἁγίων γυναικῶν καὶ Γλυκερίου πρεσβυτέρου καὶ Θεοφίλου διακόνου ἐν τῷ οἴκῳ τῶν ἁγίων μ' μαρτύρων. — **F** : 1. 2 : Μαρδονίου, Μιγδονίου, Δωροθέου καὶ Ἰνδοῦ καὶ Στρατονίκου καὶ Γλυκερίου πρεσβυτέρου καὶ Θεοφίλου διακόνου καὶ τῶν σὺν αὐτοῖς ἁγίων γυναικῶν ἐν τῷ οἴκῳ τῶν ἁγίων μ', πλησίον τοῦ Χαλκοτετραπύλου. — **Fa** : 1. 2. — **Fb** : 1. 2. — **B** : 1. — **Ba** : 1 : Γρηγορίου ἐπισκόπου τῆς μεγάλης Ἀρμενίας. Οὗτος ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ βασιλέως, Πάρθος τὸ γένος, υἱὸς Ἀνὰκ συγγενοῦς Κουσαρῶ βασιλέως Ἀρμενίας, ἀδελφοῦ Ἀρταβάνου βασιλέως Ἀρμενίαςκ αἱ πρῶτον μὲν εἰς τοὐπίσω τὰς χεῖρας δεσμεῖται καὶ βάρει ἄλατος βαρύνεται τὰ μετάφρενα καὶ ἀναρτᾶται τῆς μιᾶς χειρὸς ἡμέρας ἑπτά, πρὸς τοῖς ποσὶ λίθῳ ἐξαρτηθεὶς καὶ θυλάκῳ μεστῷ καμινιαίας αἰθάλης τὴν κεφαλὴν βάλλεται. Καὶ αὖθις τοῦ ἑνὸς ποδὸς ἀναρτᾶται καὶ ὑποκαπνίζεται χυμῷ δυσώδει[1] καὶ ῥάβδοις σκληραῖς ἐφ' ἱκανὸν τύπτεται καὶ ἐπὶ ἑτέρας ἑπτὰ ἡμέρας μένει τῇ ἀναρτήσει. Καὶ αὖθις κατενεχθεὶς μόλυβδον λελυμένον ἐν τοῖς ἐγκάτοις διὰ τῆς ἕδρας δέχεται. Μετὰ ταῦτα μαθόντος Τηριδάτου ὅτι υἱός ἐστιν Ἀνὰκ τοῦ δολοφονήσαντος τὸν πατέρα αὐτοῦ, δεσμεῖται πόδας καὶ χεῖρας καὶ τὸν αὐχένα καὶ ἐν Ἀραρὰτ τῇ πατρίδι ἐν βαράθρῳ βαθυτάτῳ[2] μεστῷ ὄντι ἑρπετῶν ἰοβόλων ἐναπορρίπτεται, ἔνθα διήρκεσεν ἔτη ιε' παρὰ γυναικὸς χήρας τρεφόμενος λάθρα ἐπιρριπτούσης αὐτῷ ὀπτὸν ἄρτον. Μετὰ ταῦτα ἀνάγεται ἐκ τοῦ λάκκου προνοίᾳ Θεοῦ. Ὃς ῥυσθεὶς πολλῶν ὀδυνῶν καὶ κακώσεων, δεξάμενος τὸ τῆς ἱερωσύνης ἀξίωμα πάντας κατήχησεν καὶ βαπτίσας καὶ αὐτὸν τὸν βασιλέα καὶ πολλὰ ἐργασάμενος παράδοξα ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν. — Τῇ αὐτῇ ἡμέρᾳ τῆς ἁγίας μάρτυρος Ῥιψιμίας[3] καὶ τῆς συνοδίας αὐτῆς. Ἡ μάρτυς Ῥιψιμία σὺν τῇ Γαϊανῇ ὑπῆρχον γένους ἐπιδόξου καὶ μεγάλου, τῷ κάλλει διαπρεπεῖς καὶ τῇ πρὸς Θεὸν εὐσεβείᾳ ἀφωρισμέναι ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Διὰ γοῦν τὸ μὴ θελῆσαι τὴν Ῥιψιμίαν[4] γήμασθαι τῷ βασιλεῖ, φυγὰς ᾤχετο ἐπὶ τὰ ὄρη Ἀρμενίας. Καὶ δὴ μαθὼν τὰ περὶ αὐτὴν Τηριδάτης ἐπελάβετο αὐτῆς καὶ τοῦ σκοποῦ ἀποτυχών, ἔπεσε νεκρός. Αὐτὴ δὲ παρὰ τῶν αὐτοῦ συμμυστῶν ὀπίσω τὰς χεῖρας δεθεῖσα, τὴν γλῶτταν ἀποτέμνεται καὶ τὸ σῶμα κατακαίεται καὶ κατὰ τῶν ἐγκάτων λίθοις ὀξέσιν ἐμπείρεται καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεται· καὶ κατὰ βραχὺ τοῖς ξίφεσι κατακοπεῖσα, τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται· Συνανῃρέθησαν δὲ αὐτῇ ἄνδρες χριστιανοὶ τὸν ἀριθμὸν ἑβδομήκοντα καὶ γυναῖκες τριάκοντα καὶ δύο·

[1] *ita corr. rec., prius* δυσόδους Ba. — [2] *corr. recens., prius* βαθωτάτω Ba. — [3] Ῥιψημίας Ba. — [4] Ῥιψίμην Ba.

δι' ἐντεύξεως αὐτοῦ ὑγιεῖς καθίστανται καὶ πρὸς τὴν πίστιν ἐνάγονται καὶ πᾶσα ὑπ' αὐτὸν[23] βασιλεία τῆς τῶν εἰδώλων πλάνης ἀφίσταται καὶ τῷ Θεῷ προσάγεται· καὶ πάντες τὸ λουτρὸν[24] καὶ τὴν σφραγῖδα τοῦ ἁγίου βαπτίσματος δέχονται καὶ χειροτονεῖται πάσης τῆς χώρας ἐπίσκοπος ὁ μέγας Γρηγόριος καὶ ἐπὶ πολλοὺς χρόνους τῇ ἡσυχίᾳ ἅμα καὶ τῇ προστασίᾳ τῆς ἐκκλησίας καταβιοὺς καὶ τὸν ἴδιον υἱὸν Ἀρωστάκην[25] ἔτι περιὼν ἀρχιεπίσκοπον χειροτονήσας ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησε[26]. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Θεοδώρου, τῷ ὄντι πλησίον τοῦ χαλκοῦ τετραπύλου[27]. Sept. 30.

2. Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Μαρδονίου, Μυγδονίου, Γοργονίου, Δωροθέου, Ἴνδου, Στρατονίκου, Γλυκερίου πρεσβυτέρου, Θεοφίλου διακόνου καὶ τῶν σὺν αὐτοῖς ἁγίων γυναικῶν.

— [23] αὐτοῦ Sa. — [24] τῷ λουτρῷ S. — [25] Ἀροστάκην Sa, *Cf.* P. de Lagarde, *l. c., p. 137.* — [26] ἐξεδήσε Sa. — [27] *Vid. quae add.* Sa *inter* Synaxaria selecta.

Γαϊανὴ[5] δὲ ἡ γενναία σὺν ταῖς λοιπαῖς ἁγίαις γυναιξὶ διεπάρη τὸν αὐχένα καὶ ἐφυσήθη ὡς ἀσκός, καὶ τὴν δορὰν τῆς σαρκὸς μέχρι τῶν μαστῶν ἀφαιρεθεῖσα, λίθοις συνετρίβη· εἶθ' οὕτως τὴν κεφαλὴν ἀπετμήθη. — **Bb** : 1. — **T** : 1 (Γρηγορίου solius). — **L** : 1. 2. — **O** : 1. — **G** : 1. — **C** : 1. — **Cb** : 1. — **M** : 1. — τῶν ἁγίων ἑβδομήκοντα τῶν συναιρεθέντων τῇ ἁγίᾳ Ῥιψίμῃ. — Μνήμη τῶν ὁσίων δύο γυναικῶν. — 2 (Στρατονίκου, Μαρδονίου). — Τῶν ἁγίων χιλίων μαρτύρων ξ. τ. — **Mv** : 1. — Τῶν ἁγίων ἑβδομήκοντα. — Δύο γυναικῶν. — 2 (Στρατονίκου ... ὁ ἅγιος μάρτυς Μαρδόνιος ἄνθρακας ἐπὶ τοῦ ὁμφαλοῦ δεξάμενος τ. — Χίλιοι μάρτυρες. — **Mr** : 1. Sept. 30.

— [5] Γαινὴ Ba.